μέμβρανα Περγαμηνὰ καλοῦσιν.

X 29. Ἰστέον δὲ Ῥωμαίοις τὸ κανοῦν ἐπὶ μὲν τῶν Rr I, 25
ἱερῶν σατούραν, ἐπὶ δὲ τῶν εὐωχιῶν ἐπουλαρίαν, ἣν
ἀπαλαρίαν οἱ πολλοὶ ἐξ ἀγνοίας προσαγορεύουσιν·
ἐπούλας γὰρ τὰς εὐωχίας Ῥωμαίοις ἔθος καλεῖν.

v. 1 ματράκιον τὸ παχὺ καὶ πλατὺ *B* ματρίκιον τὸ πλατὺ ξύλον καὶ παχύ Cedren.| | οἱ γὰρ — 3 προσγράφοις ἐκέχρηντο. ἔστι δὲ — 9 καλοῦσιν. Cedren. | ὅτι οἱ μὲν ἀρχαῖοι incipit *Y*
2 φελυρίνοις *A*, φιλυρίναις *B* 9 ὅθεν — 10 σκρίβας omis. *Y*
10 πραίτορος *B* 11 χρόνῳ — 20 καλοῦσιν non leguntur in *A*, uncis seclusit *B*, post καλοῦσιν habet πτολεμαῖος δὲ ἐφεῦρε τὸν χάρτην *X* 12 τοῦ omis. *D* 14 παρὰ] περὶ *D* πρὸς *FG*
20 καλοῦσιν reliqua. huius libri omis. *Y*

Rr I, 26 30. *Ἐδόκει μὲν μηκέτι ἐπ' ἀγορᾶς, ἀλλ' ἐν τῷ Παλατίῳ τὴν βουλὴν συνάγεσθαι, τὴν δὲ τοιαύτην σύνοδον κομβέντον ἔθος Ῥωμαίοις καλεῖν, ἀντὶ τοῦ συνέλευσιν. σιγῆς δὲ τοῖς πολλοῖς βουλευομένοις δεῖ· ἐκ τῆς περὶ τὴν σιγὴν σπουδῆς — σιλέντιον δ' αὐτὴν πατρίως καλοῦσιν — σιλεντιαρίους ἔκριναν ὀνομάζειν αὐτούς. πάντων δὲ σχεδὸν ἐναλλαγέντων διέμεινε τὸ τοῦ λεγομένου μαγίστρου φρόντισμα· ἐπείθετο δὲ αὐτῷ τάξις τις πεντήκοντα τὸν ἀριθμὸν ἀνδρῶν, οἳ φρουμεντάριοι καὶ κουρίωσοι προσηγορεύοντο, οἷον σιτῶναι καὶ περίεργοι· καὶ οἱ μὲν σιτῶναι τῆς εὐθηνίας τῶν ἐν τῷ Παλατίῳ ἀντείχοντο, οἱ δὲ περίεργοι ἡγοῦντο τοῦ δημοσίου δρόμου.* X

27 31. *Κλαβουλάριος ὀχηματικός· κλάβον γὰρ τὸν οἴακα καλοῦσιν.*

28 32. *Βήλωξ, ὀξύς, ὃς καὶ βεραιδαρικὸς ἔτι καὶ νῦν λέγεται. βεραίδους δὲ Ἰταλοῖς εἶναι δοκεῖ τοὺς ὑποζυγίους ἵππους .... ὅπερ ἐστίν, ἕλκειν τὸ ὄχημα· ὅθεν καὶ δασύνουσι γράφοντες τὸ ῥαίδας ὄνομα ἐκ τοῦ ῥᾳδίως ἐπιρρήματος παρηγμένον· οἱ γὰρ βεραίδους τοὺς ῥαίδας ἐκτὸς λέγοντες σφόδρα πλανῶνται.*

29 33. *Ἀντικουάριοι οἱ κατὰ Ἕλληνας καλλιγράφοι.*

30 34. *Ὁ δὲ Νουμᾶς οὗτος βαρβαρικοῖς ταραττομένην*

v. 1 *ἐδόκει* — 6 *ὀνομάζειν αὐτούς* Lambecius in Cod. p. 208 nro. 154 falso profert ut 'ex Ioh. Lydi libro *περὶ ἀρχῶν πολιτικῶν*' desumpta; idem facit Ducangius s. v. *σιλεντιάριος*. | *ἐπὶ ἀγορᾶς* Lamb. 3 *κομβέντιον* *B* 4 *δεῖ· διὰ τοῦτο ἐκ τῆς* Lamb. 7 *δὲ* omis. *B* 8 *μαγίστρου*] *ἴστρου* *B* 10 *κοριώσιοι* X corr. Ducangius s. v. *φρουμεντάριοι* 16 *βέλοξ* *B* | *ἔτι*] *ἔστι* *B* 18 desunt nonnulla, velut *παρὰ τοῦ βερραιδεύειν* Hasius. cf. Lyd. de mag. III, 61 *βεραίδους αὐτοὺς οἱ κρατοῦντες ὠνόμασαν, καὶ τὴν αἰτίαν ἐν τοῖς περὶ μηνῶν ἴσμεν ἀποθέμενοι.* 23 *ὁ δὲ νουμᾶς*] *δὲ* omis. *A*

X θορύβοις τὴν Ἰταλίαν μεγάλην Ἑλλάδα ᾠκονόμησε κληθῆναι πάντας τε τοὺς κλεινοὺς τῶν φιλοσόφων ἐξ αὐτῆς προελθεῖν, Ἐμπεδοκλέα λέγω τὸν φυσικὸν καὶ ἄλλους πολλοὺς πρὸ Ἀριστοτέλους.

XS 35. Ὅτι ἐπὶ τοῦ Νουμᾶ καὶ πρὸ τούτου οἱ πάλαι Rr I, 31 ἱερεῖς χαλκαῖς ψαλίσιν, ἀλλ' οὐ σιδηραῖς ἀπεκείροντο· ὁ γὰρ σίδηρος κατὰ τοὺς Πυθαγορείους τῇ ὕλῃ ἀνάκειται· μέλας γὰρ καὶ αὐτὸς καὶ διὰ τοῦτο ἐγγὺς ἀνείδεος, πολύκμητός τε καὶ πολύχρηστος ἀλλ' οὐκ ἀπαθής ἐστιν.

S 36. Ὅτι μετὰ τὸν Αὔγουστον ἐν ταῖς τοῦ Παλα- deest Rr τίου τάξεσιν ηὑρίσκετο καὶ σύστημα πατρικίων ἑξήκοντα παρ' οἷς τὰ διοπετῆ ὅπλα ἐφυλάττετο· ἔτι δὲ μὴν καὶ ἄλλοι τριάκοντα, παρ' οἷς ἐφυλάττοντο οἱ σιβύλλειοι χρησμοί.

O 37. Ἱερέας γενέσθαι τὸ πρὶν τοὺς ὕστερον ἄρχον- Laur. Lyd. de τας τοῦ Ῥωμαίων πολιτεύματος οὐδενὶ τῶν πάντων mag. prooem. ἠγνόηται, Τυρρηνοῦ ἐπὶ τὴν ἑσπέραν ἐκ τῆς Λυδίας μεταστάντος, τοὺς τότε καλουμένους Ἐτρούσκους — ἔθνος δὲ ἦν Σικανόν — τὰς Λυδῶν τελετὰς διδάξαντος, οὓς ἐκ τῆς θυοσκοπίας Θούσκους συμβέβηκε μετονομασθῆναι· καὶ τούτων εἰς πλάτος ἐν τῇ πρώτῃ τῆς περὶ μηνῶν γραφείσης ἡμῖν πραγματείας ἴσμεν μνημονεύσαντες. τὰ γὰρ ἐπίσημα τῶν ἀρχόντων ἀπὸ Θούσκων λαβὼν ὁ βασιλεὺς Νουμᾶς τῇ πολιτείᾳ εἰσήγαγεν, ὥσπερ καὶ τῶν ὅπλων τὸ δύσμαχον ἀπὸ Γαλατῶν. καὶ μάρτυρες μὲν τούτων ὅ τε Καπίτων καὶ

v. 1 τὴν ἰταλίαν θορύβοις *B* 5 καὶ τοῦτο δὲ πρὸς τοῦ νουμᾶ διατέθειται, ὥστε τοὺς ἱερεῖς — 6 ἀποκείρεσθαι *X* 8 ἀνειδέον *X* 9 πολυκάμητος *A* πολυκαμητάς *B* 13 διοπετῆ — 14 οἷς in ras. *S* 18 τυρρηνοὺς *O* corr. Fussius.

Φοντήϊος, ἐξ ὧν καὶ ὁ διδασκαλικώτατος Οὐάρρων, Ῥωμαῖοι πάντες, μεθ' οὓς Σαλούστιος οὗτος ὁ ἱστορικὸς ἐπὶ τῆς πρώτης ἱστορίας σαφῶς ἀναδιδάσκει.

38. *Ῥαμνίτας καὶ Τιτίους ἱστῶν καὶ Λούκερας· τὰς* de mag. I, 9 *δὲ αἰτίας τουτωνὶ τῶν ὀνομάτων ἐν τοῖς περὶ μηνῶν, ὡς εἴρηται, τεθεῖσιν ἡμῖν ἀποδεδώκαμεν.*

39. *Γλωσσίδα τινὰ ἤγουν διάβλημα, χρυσοτελὲς* de mag. II, 13 *καὶ αὐτό, εἰς βότρυος σχῆμα πεποιημένον δι' ἣν ἐν τῇ περὶ μηνῶν συγγραφῇ ἀποδεδώκαμεν αἰτίαν.*

40. *Πάλαι γὰρ καὶ νῦν δὲ παρ' αὐτοῖς τῶν ὅπλων* de mag. II, 19 *στρατεύμασιν ἐπιφέρεται ὁ τῶν λεγομένων βιάρχων πρῶτος ῥάβδον κλήματι ἐξ ἀργύρου πεποιημένῳ περιπεπλεγμένην πρὸς τιμῆς τοῦ ποτε τιμηθέντος Διονύσου, ὡς ἐν τοῖς περὶ μηνῶν ἀποχρώντως ἡμῖν ἀνήνεκται.*

41. *Ὅτι βηξιλλατίωνες οἱ Ῥωμαίων ἱππεῖς καὶ* Cedren. *βήξιλλα παραπετάσματα ἐκ πορφύρας καὶ χρυσοῦ εἰς τετράγωνον σχῆμα πεποιημένα· ταῦτα ἐξαρτῶντες ἐπὶ μακρῶν δοράτων, κύκλῳ παραπορευόμενοι τῶν βασιλέων κατασκέπτουσιν αὐτούς. εἶεν δ' ἂν τὰ λεγόμενα φλάμμουλα.*

§ 41 Georg. Cedren. hist. comp. p. 298,4 Bonn., qui *βιξιλατίωνες βίξιλα φλάμουλα* scribit; cf. de mag. I,8: *Βήξιλλα πρὸς τούτοις οἱονεὶ δόρατα μακρὰ ἐξηρτημένων ὑφασμάτων· φλάμμουλα αὐτὰ ἀπὸ τοῦ φλογίνου χρώματος καλοῦσι· περὶ ὧν ἐν τοῖς περὶ μηνῶν γραφεῖσιν ἡμῖν ἀποχρώντως ἀνήνεκται* et II, 19: *Βήξιλλα γὰρ αὐτὸς μόνος ὁ Καῖσαρ ἔχειν τὸ λοιπὸν γνωρίζεται· τίνα δὲ ταῦτα ἐν τῷ περὶ μηνῶν ἐπεδείξαμεν.*

LIBER ALTER.

Περὶ ἡμέρας.

H 1. ... *ἀναγκαῖόν μοι δοκεῖ περὶ τῶν μηνῶν εἰπεῖν,* deest Rr
ὅθεν καὶ ὅπως τὴν προσηγορίαν αὐτῶν ἕκαστος εἴληφε, καὶ ἅπερ καθ' ἕκαστον αὐτῶν τοῖς Ῥωμαίοις πάλαι παρατετήρηται, ὅσα γε ἡμεῖς ἐκ τῶν Ῥωμαϊκῶν ἱστοριῶν παρειλήφαμεν· πρὸς τούτοις καὶ περὶ διαφορᾶς ἔτι πρότερον ἐνιαυτῶν, αἰώνων τε καὶ χρόνων καὶ ἀρχῆς ἡμερῶν. γένοιτο ἂν καὶ τοῦτο ὥσπερ ἥδυσμά τι ταῖς τῶν πολλῶν ἀκοαῖς.

XYH 2. *Ἡ φυσικὴ ἡμέρα ἀπὸ τῶν ἡλίου ἀνατολῶν ἕως* RrII,1
XYHPS *δυσμῶν λαμβάνεται, ἀλλ' οὐ παρὰ πᾶσιν οὕτως. Βαβυλώνιοι μὲν γὰρ ἀπὸ ἀνατολῶν ἡλίου ἕως αὐτῶν λαμ-*

v. 2 *Περὶ ἡμέρας X* 3 *Περὶ μηνῶν καὶ δρόμου σελήνης. μέλλοντί μοι περὶ τῶν τῆς σελήνης συνόδων ἐρεῖν . . . ἀναγκαῖόν μοι δοκεῖ περὶ τῶν μηνῶν πρότερον εἰπεῖν* — 10 *πολλῶν ἀκοαῖς H* f. 160 r. 11 *ἐπεὶ δὲ εἰς τὸ ἡμερονύκτιον κατηντήσαμεν, χρεὼν εἰπεῖν καὶ ὅπως τοῦτο λογίζεται παρ' ἑκάστοις τοῖς ἔθνεσιν, εἶτ' οὖν ὅπως ἡ ἡμέρα μετρεῖται. βαβυλώνιοι μὲν οὖν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι τῶν δυσμῶν αὐτοῦ τὴν ἡμέραν ὁρίζονται, τῆς νυκτὸς* — p. 20, 12 *ὀνομάζεσθαι P* f. 109 r (Boissonade anecd. gr. I p. 420 sq.). *ὅτι* (omis. *X*) *ἡ φυσικὴ ἡμέρα* — p. 20, 4 *ἐπὶ ταῖς γενέσεσιν XY, ἡ φυσικὴ ἡμέρα* — p. 20, 11 *νυκτὸς ἠρίθμησαν H* | *τοῦ ἡλίου H* 12 *ἀπολαμβάνεται Y* | *ὅτι οἱ βαβυλώνιοι ἀπὸ ἀνατολῶν* — p. 20, 4 *γενέσεσιν S* 13 *ἀνατολῆς H* | *μέχρι τῶν δυσμῶν αὐτοῦ τὴν ἡμέραν ὁρίζονται P, ἕως αὐτῶν τὴν ἡμέραν λαμβάνουσι S, ἡλίου μέχρι δυσμῶν λαμβάνουσι H*

βάνουσι δυσμῶν, νυκτὸς οὐδ' ὅλως μνήμην ποιούμενοι, XYHPS
οἷα οὐ καθ' ὑπόστασιν ἀλλὰ μᾶλλον κατὰ συμβεβηκὸς
γινομένης. Αἰγύπτιοι δὲ καὶ Ἑβραῖοι ἀπὸ ἀρχῆς ἑσπέ-
ρας τὴν ἐπιφοιτῶσαν συναριθμοῦντες ἡμέραν ἕως τῆς
ἐπιούσης πάλιν ἑσπέρας, τὴν προλαβοῦσαν δηλον- P
ότι νύκτα μετὰ τῆς ἐπακολουθούσης ἡμέρας συνενοῦν-
τες καὶ μίαν ἀμφοτέρας ὀνομάζοντες ἡμέραν, ἀρχόμενοι
δὲ πρότερον ἀπὸ τῆς νυκτός, διὰ τὸ ἀρχεγονώτερον εἶναι
τὸ σκότος τοῦ φωτὸς καὶ πρὸ τῆς τοῦδε τοῦ παντὸς XYHPS
διακοσμήσεως ἔρεβος καὶ σκότος προϋποτίθεσθαι τοὺς
κοσμογράφους, νύκτα δὲ πάντων μητέρα ὀνομάζειν·
ὅθεν καὶ οἱ μυθικοὶ ἀπὸ Λητοῦς τεχθῆναι Ἄρτεμιν XYP
ποιοῦσι καὶ Ἀπόλλωνα, καὶ πρώτην Ἄρτεμιν, οἱονεὶ XY
ἀερότεμιν Σελήνην, μεθ' ἣν τὸν Ἥλιον. εἴη δ' ἂν
Λητὼ ἡ νύξ· καὶ γὰρ λήθη κατ' αὐτὴν καὶ ὕπνος ἐπι-
γίνεται. οἵ γε μὴν Οὔμβροι, ἔθνος Ἰταλικὸν καὶ ἀστρο- XYHPS

v. 1 *δυσμῶν* omis. *YS* | *τῆς νυκτὸς μηδ' ὅλως μνείαν ποιούμενοι ἐν τῷ τῆς ἡμέρας λόγῳ, ὡς ἀνυποστάτου πράγματος· αἰγύπτιοι δὲ P* 2 *ὀναλοῦ A, οἷον οὐ B, οἷα μὴ Y, οἷα οὐ HS* 3 *γινομένη D* | *καὶ Ἑβραῖοι* omis. *XYPS* | *ἀρχῆς* omis. *XYHS* 4 *τὴν ἐπιφοιτῶσαν συναριθμοῦντες ἡμέραν* omis. *P* | *ἡμέραν ἕως αὖθις ἑσπέρας τὴν ἡμέραν λογίζονται H, ἡμέραν ἕως αὖθις ἑσπέρας XY, ἀπὸ ἑσπέρας ἕως ἑσπέρας S, μέχρι τῆς ἐπιούσης πάλιν ἑσπέρας P* 5 *τὴν προλαβοῦσαν* — 9 *τοῦ φωτὸς* omis. *XYHS* 6 *ἐπακολουθείσης P* 9 *καὶ P, διὰ τὸ XYHS* | *πρὸ τῆς τοῦδε τοῦ παντὸς διακοσμήσεως YS, πρὸ τῆς διακοσμήσεως τοῦδε τοῦ παντὸς P, τῆς πρὸ τοῦδε τοῦ παντὸς (ὥς φασι* add. *H) διακοσμήσεως XH* 10 *σκότον XYHS, ἔρεβος καὶ σκότος P* | *ὑποτίθεσθαι XYHS* 11 *κοσμογράφους καὶ τὸ τὴν νύκτα εἶναι μητέρα πάντων· ὅθεν καὶ P* | *νύκτα τε YA* | *νομίζειν Y, ὀνομάζειν XHS* 12 *καὶ* omis. *XY* | *ὅθεν καὶ οἱ μυθικοὶ* — 15 *ἐπιγίνεται* desunt *HS* | *τεχθῆναι τὸν ἀπόλλωνα λέγουσιν. οὔμβροι δὲ P* 13 *ἀπόλλωνα· ἄρτεμιν οἱονεὶ ἀερότεμιν σελήνην, μεθ' ἣν τὸν ἥλιον X, ἀπόλλωνα καὶ πρώτην ἄρτεμιν· εἴη δ' ἂν λητὼ ἡ νὺξ· καὶ γὰρ λήθη κατ' αὐτὴν καὶ ὕπνος ἐπιγίνεται τὴν οἱονεὶ ἀερότεμιν σελήνην Y* 14 *εἴη δ' ἂν* — 15 *ἐπιγίνεται* omis. *X* 16 *οὔμβροι δὲ XPS, ὄμβριοι δὲ H* | *γένος P, ἔθνος XYHS* | *καὶ ἀστρολόγον* omis. *XYHS*

XYHPS λόγον, ἀπὸ μεσημβρίας τὴν ἀρχὴν τῆς ἡμέρας λαμ-
βάνουσιν, ἕως πάλιν τῆς ἄλλης μεσημβρίας μίαν· λέ-
γοντες ἡμέραν, ὥσπερ καὶ οἱ ἀστρολόγοι ἐπὶ ταῖς γε-
H νέσεσιν. Ἀθηναῖοι δὲ καὶ αὐτοὶ ἀπὸ δυσμῶν εἰς
HP δυσμὰς ὥσπερ καὶ οἱ Ἑβραῖοι, Ῥωμαῖοι δὲ τὸ μὲν πρῶ-
τον ἴσα τοῖς Βαβυλωνίοις κατὰ τὸν φυσικὸν νόμον
καὶ αὐτοὶ τὴν ἡμέραν μόνην ἀπὸ ἀνατολῶν ἡλίου μέχρι
δυσμῶν ἡμέραν ὡρίζοντο, τὴν νύκτα μηδὲν λογιζόμε-
νοι· ὕστερον δὲ ἀπὸ μέσης νυκτὸς ἤγουν τῆς ἀρχῆς
τῆς ἑβδόμης ὥρας αὐτῆς καὶ ἕως μέσης πάλιν τῆς
ἐπιούσης νυκτὸς ἐτύπωσαν τὴν ἡμέραν καὶ νομίζεσθαι
καὶ ὀνομάζεσθαι.

X 3. Πάντας τοὺς ῥυθμοὺς ἐκ τῆς τῶν πλανήτων Rr II, 2
κινήσεως εἶναι συμβαίνει· ὁ μὲν γὰρ Κρόνος τῷ Δω-
ρίῳ, ὁ δὲ Ζεὺς τῷ Φρυγίῳ, ὁ δ' Ἄρης τῷ Λυδίῳ καὶ
οἱ λοιποὶ τοῖς λοιποῖς κινοῦνται κατὰ τὸν Πυθαγόραν
πρὸς τὸν ἦχον τῶν φωνηέντων· ὁ μὲν γὰρ Ἑρμοῦ τὸν
α̅, ὁ δ' Ἀφροδίτης τὸν ε̅, ὁ δ' Ἥλιος τὸν η̅, καὶ ὁ
μὲν τοῦ Κρόνου τὸν ι̅, ὁ δὲ τοῦ Ἄρεος τὸν ο̅,
καὶ Σελήνη τὸν υ̅, ὅ γε μὴν τοῦ Διὸς ἀστὴρ τὸν ω̅
ῥυθμὸν ἀποτελοῦσιν· ὁ δὲ ἦχος τῶν ῥυθμῶν ὡς ἡμᾶς
οὐκ ἀφικνεῖται διὰ τὴν ἀπόστασιν.

v. 1 ἀπὸ μεσημβρίας εἰς μεσημβρίαν (εἰς μεσημβρίαν omis. *Y*) τὴν ἡμέραν ἔλαβον (τὴν ἡμέραν ἔλαβον omis. *S*) *XYS*, ἀπὸ μέσης εἰς μέσην ἔλαβον τὴν ἡμέραν *H*   3 λέγοντες ἡμέραν· ῥωμαῖοι δὲ *P* | ὥσπερ — 4 γενέσεσιν omis. *XP*   4 ἀθηναῖοι δὲ — 5 ῥωμαῖοί γε μὴν τὸ πρὶν κατὰ τὸν φυσικὸν νόμον τὴν ἡμέραν ἔτασσον ἀπὸ ἀνατολῶν ἡλίου ἕως δυσμῶν, ὕστερον δὲ ἀπὸ μέσης νυκτὸς εἰς μέσην νύκτα ἠρίθμησαν *H*   6 κατὰ τὸν φυσικὸν νόμον omis. *P*   10 ἕως τῆς μέσης *P*   16 κνοῦται *A*, κοιοῦνται *A* 2   18 τὸ α̅, τὸ ε̅ rell. *B*, τὸ α̅, τὸν ε̅, τὸν ο̅ rell. *A*, τὸ ε̅ rell. corr. *A* 2

Rr II, 3 4. Ὅτι οἱ περὶ Ζωροάστρην καὶ Ὑστάσπην Χαλδαῖοι Y
καὶ Αἰγύπτιοι ἀπὸ τοῦ ἀριθμοῦ τῶν πλανήτων ἐν
ἑβδομάδι τὰς ἡμέρας ἀνέλαβον. καὶ τὴν μὲν πρώτην XYS
ἡμέραν μίαν ἐκ τῆς μονάδος, ἀλλ' οὐ πρώτην ἐκ τῆς
ἑβδομάδος κλητέαν κατὰ τοὺς Πυθαγορείους διὰ τὸ
μόνην εἶναι καὶ ἀκοινώνητον ταῖς ἄλλαις. πρώτη γὰρ
λέγεται ἡ πρωτεύουσα τῶν μετ' αὐτήν, ἡ δὲ μονὰς
ἀμερὴς καὶ ἀμετάβολος καὶ αὐτοκίνητος καὶ ὡσαύτως XY
ἔχουσα· ὑπὲρ ἀριθμὸν γάρ ἐστιν· ὥστε οὐκ ἄν τις αὐ- X
τὴν καλέσοι πρώτην, ἀλλὰ μίαν· οὐδὲ γὰρ ἐπὶ ἄρτιον
οὐδὲ ἐπὶ τὸν περιττὸν οὔτ' ἐπ' ἄλλον τινὰ ἀριθμὸν
μεθίσταται. δικαίως ἂν αὐτοῦ τὴν δύναμιν ἐπέχοι Y
τοῦ νοῦ, ὅπέρ ἐστιν ἀγαθόν τε καὶ περιττόν, ἴσον τε
καὶ πεπερασμένον, καὶ φῶς καὶ εὐθὺ καὶ μόνιμον,
ἄρρεν τε καὶ δεξιόν. νοῦς γάρ ἐστι, φησὶν ὁ μυ-
στικὸς λόγος, οὐσιώδης ὁ ἅπαξ ἐπέκεινα μένων ἐν
τῇ ἑαυτοῦ οὐσίᾳ καὶ πρὸς ἑαυτὸν συνεστραμμένος,
ἑστώς τε καὶ μένων. ἀναφέρεται δὲ ἡ μονὰς εἰς Ἀπόλ-
λωνα, τουτέστιν εἰς τὸν ἕνα Ἥλιον, ὃς Ἀπόλλων λέγε-
ται διὰ τὸ ἄπωθεν εἶναι τῶν πολλῶν. καὶ Ῥωμαῖοι
δὲ αὐτὸν Σόλεμ ἤτοι μόνον λέγουσι.

v. 16 ὁ ἅπαξ ἐπέκεινα Kroll Or. Chald. p. 16

v. 1 ὅτι οἱ περὶ inc. Marc. gr. 320 (*M*), ὅτι — 3 ἀνέλαβον desunt *X* 3 καὶ τὴν μὲν πρώτην ἡμέραν μίαν, ὡς καὶ οἱ πυθαγόρειοι, καλοῦσιν ἐκ τῆς μονάδος, ὅτι μόνη καὶ ἀκοινώνητος ταῖς ἄλλαις *Y*, ὅτι (ὅτι omis. *X*) τὴν πρώτην ἡμέραν μίαν κατὰ τοὺς πυθαγορείους (κατὰ τοὺς πυθαγορείους μίαν *S*) κλητέαν (κλητέον *S*) ἀλλ' οὐ πρώτην ἐκ τῆς μονάδος (ἑβδομάδος *S*) διὰ τὸ μόνην εἶναι καὶ (καὶ omis. *S*) ἀκοινώνητον ταῖς ἄλλαις *XS* 6 πρώτη γὰρ ἡ τῶν μετ' αὐτὴν πρωτεύουσα *Y* 8 ἀμετάβολος cet. des. *S* 9 ὑπάρχουσα *Y* | ὑπὲρ ἀριθμὸν — 12 μεθίσταται omis. *Y* 12 δικαίως — 21 λέγουσι omis. *X* 18 μένον *M*, μένων corr. *M* 20 ἄποθεν *CM* | πολλῶν] πυλῶν *DE* 21 σόλεμ in corr. *M*

X 5. *Πολλαῖς ὀνομασίαις καλεῖται ὁ Ἥλιος·* RrII,4

Ἥλιος Ὧρος Ὄσιρις Ἄναξ Διὸς υἱὸς Ἀπόλλων
ὡρῶν καὶ καιρῶν ταμίης ἀνέμων τε καὶ ὄμβρων
ἠοῦς καὶ νυκτὸς πολυαστέρος ἡνία νεύων.

XY 6. *Ὁ Πυθαγόρας τὴν μονάδα Ὑπεριονίδα καλεῖ διὰ τὸ πάντων ὑπερεῖναι τῇ οὐσίᾳ, ὥσπερ καὶ ὁ νοητὸς Ἥλιος ὑπὲρ τὰ ὄντα ἔχων τὸ εἶναι Ὑπεριονίδης κέκληται. ἀναφέρεται δὲ Ἥλιος εἰς μονάδα ὡς εἰκὼν ἐκείνης, οὐκ αὐτὸς ὢν ἡ μονάς, ἀλλὰ μὴν καὶ ἀκάμας, κάματος γὰρ ἐν τοῖς συνθέτοις· ἡ δὲ μονὰς ἁπλῆ καὶ ἄρρην, ὅτι δὴ γονιμωτάτη καὶ τῶν μετ' αὐτὴν αἰ-* X *τία· καὶ ὅπως, συνιδεῖν εὔκολον· εἰ γάρ τις τὰ τέσσαρα καὶ εἴκοσι στοιχεῖα — τὰ γράμματα λέγω — εἰς ἀριθμοὺς συλλογίσεται, εὑρήσει τρισχιλίους ἐνναкοσίους ἐννενήκοντα ἐννέα τοὺς πάντας, οἷς προστιθεμένης τῆς ἐν ἑξάκισχιλιάδι μονάδος, εἰ πάντες συλλογισθήσονται, ἐννακισχίλιοι ἐννακόσιοι ἐννενήκοντα ἐννέα ἀριθμοί, μεθ' οὓς οὐδὲν παρὰ τὴν μονάδα λελείψεται. ὅθεν τὴν αὐτὴν ἐπέχει γραμμὴν ἡ μυριὰς τῇ μονάδι, ὡς ἀρχῆς αὐτῆς ἅμα καὶ πέρατος οὔσης τῶν ἀσωμάτων οὐσιῶν, ὧν εἰσι παραδείγματα οἱ ἀριθμοί. Ὀρφεὺς*

§ 5 G. Wolff Porphyrii de philosophia ex oraculis haurienda librorum reliquiae p. 127 v. 21 Abel Frgm. Orph. 144

§ 5 deest *Y* v. 4 *νεύων. ἀπόλλων δὲ εἴρηται παρὰ τὸ ἄπωθεν (ἄποθεν A) εἶναι τῶν πολλῶν X* 5 *ὁ X, καὶ Y* *ὑπεριονίδαν A* 6 *ὥσπερ X, ὡς Y* 7 *ἔχων*] *ἔσχε B* 8 *ἀναφέρεται* — 9 *μονάς* desunt *Y* 11 *δὴ*] *δὲ D* 12 *καὶ ὅπως* — p. 23,6 *μένει* desunt *Y* 14 *συλλογίσηται B* 15 *προστιθείσης* (?) *A*, *προστιθεμένης A* 2 in marg. 15 sq. *τῆς ἑξακισχιλίας μονάδος B*, *τῆς ἐνεξαμισχιλίδιμονάδος A*, *-ακι-* corr. *A* 2, ego *χιλι⟨ά⟩δι* temptavi 18 *μοναδαν A* | *λελήψεται X* 19 *της μονάδι A* 20 *ἅμα* omis. *B*

δὲ τὸν ἕνα ἀριθμὸν ἀγυιέα καλεῖ, τουτέστιν ἀμερῆ, X
οὐδὲν γὰρ τῶν μερῶν τοῦ ἀριθμοῦ περὶ αὐτόν, οὐχ
ἡμιόλιον, οὐκ ἐπίτριτον· τέλειος ἐπεὶ ὅλος. ὅτι ἡ S
μονὰς οὕτως εἴρηται παρὰ τὸ μένειν ἐφ' ἑαυτῆς· μει-
ουμένου γὰρ τοῦ πλήθους κατὰ τὴν ἀφαίρεσιν παν-
τὸς ἀριθμοῦ στερηθεῖσα μόνη ἀμείωτος μένει. δια- XYS
φέρει δὲ μονὰς ἑνὸς ᾗ διαφέρει ἀρχέτυπον εἰκόνος·
παράδειγμα μὲν γὰρ ἡ μονάς, μίμημα δὲ τῆς μονάδος
τὸ ἕν. ὅτι ἡ μονὰς ἐν τριάδι θεωρεῖται, δυνατὸν ἐκ S
τῶν ὑμναρίων λαβεῖν· πρὸς γὰρ τὸν ἅπαξ ἐπέκεινα
ὁ Πρόκλος οὕτω·

μονάδα γάρ σε τριοῦχον ἰδὼν ἐσεβάσσατο κόσμος.

Τοσαῦτα μὲν περὶ τῆς μιᾶς, ἣν ὡς ἔφην πρώτην X
τὸ πλῆθος καλεῖ, ἣν κατ' αἴσθησιν Ἡλίῳ ἀνέθεντο,
ταμίᾳ μὲν τοῦ παντὸς αἰσθητοῦ φωτός, δι' οὗ θερ- XY
μαίνει τε ἅμα καὶ ἠρέμα ξηραίνει τὰ σώματα, ἑνὶ τῶν
πλανήτων καθ' Ἕλληνας, κἂν εἰ Ζωροάστρης αὐτὸν X
πρὸ τῶν ἀπλανῶν τάττοι.

Rr II, 6 7. Τὴν δὲ δευτέραν ἡμέραν τῇ Σελήνῃ φαίνονται οἱ XY
φυσικοὶ ἀναγράφοντες, ὑγραινούσῃ τε ἅμα καὶ μετρίως
θερμαινούσῃ, τουτέστι τῇ τῆς ὕλης ἐφόρῳ· ὅθεν καὶ
Ἄρτεμις λέγεται ἀπὸ τοῦ ἀρτίου καὶ ὑλικοῦ ἀριθμοῦ·

v. 1 *ἀγυένα B* 3 *ὅτι ἡ μονάς* eqs. *S*, omis. usque ad 6 *μένει X* 6 *ὅτι διαφέρει S* 7 *ὡς ἀρχέτυπον εἰκόνος καὶ παραδείγματος μίμημα* cet. des. usque ad 15 *Y* 8 *μίμημα δὲ ταύτης τὸ ἕν S* 9 *τὸ* omis. *X* | *ὅτι ἡ μονὰς — 12 κόσμος* omis. *X* 12 *ἐσεβάσατο S* | *κόσμος* corr. e *κόσμον S* 13 *πρῶτον A*, *-την* corr. *A2* 15 *ὁ δὲ ἥλιος θερμαίνει τε ἅμα — 16 σώματα. τὴν δὲ δευτέραν Y* 16 *σθμα A*, *ἅμα* corr. *A2* 18 *τάττη A* 19 *τῇ* omis. *X* | *φαίνονται — 20 ἀναγράφοντες*] *ἀνέγραψαν Y* 20 *τε* omis. *Y* 22 *λέγεται* omis. *Y* | *ἀριθμοῦ* omis. *Y*

Y τὸ γὰρ ἄρτιον μέσον διασπᾶται διαιρούμενον τοῦ ἑνός· μόνος δὲ ἀδιαίρετος ὁ περιττός. ὁ μὲν γὰρ ἄρρην ἀριθμὸς τετράγωνος, αὐγὴ καὶ φῶς, ἐξ ἰσότητος πλευρῶν συνεστώς, ὁ δὲ θῆλυς ἑτερομήκης, νύκτα καὶ σκότον ἔχων διὰ τὴν ἀνισότητα· ὁ δὲ ἑτερομήκης τὴν μὲν ἐλάττονα πλευρὰν ἐλάττονα ἔχει ἑνί, τὴν δὲ μείζω περιττοτέραν ἑνί. ὥστε ὁ δύο ἀριθμὸς οὐ καθαρός, πρῶτον μέν, ὅτι κενός ἐστι καὶ οὐ ναστός, τὸ δὲ μὴ πλῆρες οὐ καθαρόν, ἀρχὴ δὲ ἀπειρίας καὶ ἀνισότητος· ἀπειρίας μὲν διὰ τὴν ὕλην, ἀνισότητος δὲ διὰ τοὺς ἑτερομήκεις· ὅθεν οἱ παλαιοὶ ὡς ὕλην καὶ ἑτερότητα XY τὴν δυάδα παραλαμβάνουσι. τόλμαν δὲ καὶ οἱ περὶ Φερεκύδην ἐκάλεσαν τὴν δυάδα, καὶ ὁρμὴν καὶ δόξαν καλοῦσιν, ὅτι τὸ ἀληθὲς καὶ ψευδὲς ἐν δόξῃ Y ἐστί. πανσόβητος γὰρ ἡ ὕλη καὶ ἄστατος καὶ πολυμετάβολος, κακοπαθής τε καὶ πόνων ὑπομονητική, κατὰ φύσιν τὸ μεριστὸν καὶ διεστὼς ἔχουσα· ὁ γὰρ ἄξων μέσος διὰ παντὸς ἥκων τοῦ οὐρανοῦ πρῶτος τὴν εἰς δύο τομὴν καὶ ἀπὸ τοῦ ἑνὸς ἀπόστασιν ὑποφαίνει, αἴτιος δὲ τῆς πάσης τοῦ αἰσθητοῦ κινήσεως καὶ πάντῃ τῶν νοητῶν κεχωρισμένος. ταῦθ' οὕτως ἔχοντα ὁ Νουμᾶς εὑρὼν Ῥωμαίοις τὸν δυικὸν ἀριθμὸν ἀπηγόρευσεν ἐν ταῖς ἑορταῖς· οὐδὲ γὰρ ἀριθμοῦσιν οἱ Ῥωμαῖοι, ὥσπερ πρὸ τεσσάρων καὶ τριῶν, οὕτω καὶ πρὸ δύο λέγοντες· ὡς καὶ Ἀθηναῖοι τὸ πρὶν τὴν δευτέραν

v. 1 τὸ γὰρ — 12 παραλαμβάνουσι omis. *X* | μέσον ὂν διασπᾶται *Y*, ὂν del. *Rr*, διασπᾶται οὐ Nokkius | διαιρού μενον *DFG*, διαρουμένου *CEM* 4 συνιστώς *D* 8 πρῶτος *D* 12 τόλμαν δὲ αὐτὴν καὶ ὁρμὴν eqs. *Y* 13 ὁρμὴν *AY*, τομὴν *B* 14 ἀποκαλοῦσιν *X* | ἀψευδὲς *A* 15 ἐστί. reliqua huius paragraphi omis. *X* 16 ὑπομονητικός *D* 17 διεστός *D* 20 τῆς πάσης] τοῖς πᾶσι *M* 22 νούμας *D*

ἐξήρουν τοῦ Βοηδρομιῶνος, ὡς Πλούταρχος ἐν Συμ- Y
ποσίῳ φησί.

RrII,7 8. Τὴν δὲ τρίτην ἡμέραν ἀνέθεντο Πυρόεντι — XY
Ἄρης δ' ἂν εἴη οὗτος παρ' Ἕλλησι — τουτέστι τῷ
ἀερίῳ καὶ γονίμῳ πυρί, ὅπερ ἐξάπτει τὴν τοῦ παν-
τὸς αἰσθητοῦ φύσιν καὶ ἀργεῖν οὐκ ἐᾷ, ξηραῖνον ἅμα
καὶ ῥοιζηδὸν θερμαῖνον. Ἥρας δὲ παῖδά φασι τὸν
Ἄρεα, τουτέστιν ἐκ τοῦ ἀερώδους τὸ διειδὲς καὶ λεπτο-
μερὲς πῦρ· ὅθεν οἱ μυθικοὶ ζευγνύουσι τὴν Ἀφροδί-
την ποτὲ μὲν Ἡφαίστῳ, τῷ χθονίῳ πυρί, ποτὲ δὲ
Ἄρεϊ, τῷ ἀερίῳ· διὰ γὰρ τούτων τὸ πᾶν αἰσθητὸν
ζωογονεῖται, ὡς εἴρηται. μεγίστη δὲ ἡ τῆς τριάδος XYS
καὶ κατ' αἴσθησιν δύναμις· ὁ γὰρ κατ' αὐτὴν ἀριθμὸς
τοῖς γεννητοῖς ἐπιδέδωκε γένεσιν αὔξησιν τροφήν. καὶ
οὐχ ἁπλῶς εἴρηται·

τριχθὰ δὲ πάντα δέδασται,

τριῶν ὄντων καὶ αὐτῶν τῶν οὐρανίων σωμάτων, τοῦ
τε αἰθερώδους, ἀστρώδους τε καὶ λιθώδους. καὶ τῶν XY
περιττῶν ἀριθμῶν ἀρχὴ ἡ τριάς, ὅθεν καὶ ἰδικὸς X
ἀριθμὸς ὁ τρία καλεῖται, μερισμὸν ἢ διαίρεσιν οὐκ
ἐπιδεχόμενος. ὅτι πάντων ἄρχει τῶν ἀριθμῶν ἡ τριάς,
ὡς ἀρχὴ τυγχάνουσα τῶν περιττῶν πάντων, πληρούν-

v. 1 Plut. Quaest. conv. IX, 6 p. 741 B   16 Il. O 189

v. 1 ἀνεξήρουν *D*   3 τὴν τρίτην τῷ ἄρει τουτέστι τῷ ἀερίῳ *X*   7 ἐκθερμαῖνον *X*   8 ἐκ τοῦ ἀέρος (ἄρεος *B*) τὸ λεπτομερές· τὴν ἀφροδίτην ποτὲ μὲν ἡφαίστῳ ποτὲ δὲ ἄρει ζευγνύουσι, τουτέστι ποτὲ μὲν τῷ χθονίῳ πυρί, ποτὲ δὲ τῷ ἀερίῳ· διὰ γὰρ eqs. *X*   11 πᾶν] πνεῦμα *X*   12 ὡς εἴρηται omis. *Y* | ὅτι μεγίστη — 18 λιθώδους *S*   13 καὶ κατ' αἴσθησιν omis. *XS*   14 γενητοῖς *XY*, γενετοῖς *G* | ἐπιδέδοκε *A* | καὶ τροφὴν *S*   18 τε καὶ] τε omis. *S* | καὶ τῶν omis. *X*   19 περιττῶν γὰρ *X* | ἀρχὴ πέφυκεν εἶναι τριάς *X* | ὅθεν — p. 26, 1 λειπομένων desunt *Y*

XYS των καὶ μηδέποτε λειπομένων. καὶ τρεῖς πρῶται κατ' Ὀρφέα ἐξεβλάστησαν ἀρχαὶ τῆς γενέσεως, νὺξ καὶ γῆ καὶ οὐρανός, θεῶν δὲ τῶν ἐν γενέσει τρία γένη, οὐράνιον καὶ ἐπίγειον καὶ τὸ μεταξὺ τούτων. τρία δὲ καὶ τῆς ψυχῆς τὰ κυριώτατα, λογικὸν θυμικὸν ἐπιθυμητικόν. τρία δὲ καὶ νοῦ εἴδη Ἀριστοτέλης παραδίδωσι, τὸν ὑλικόν, τὸν καθ' ἕξιν, τὸν θύραθεν· ἐξ ὧν XY καὶ τρεῖς ἰδέαι, φύσις μάθησις ἄσκησις. καὶ αὐτῆς δὲ τῆς πάντα κινούσης μουσικῆς κατὰ τὸν Θεόφραστον τομαὶ τρεῖς, λύπη ἡδονὴ ἐνθουσιασμός. ἀλλὰ μὴν καὶ σώματος τρεῖς αἱ κινήσεις, φορὰ νόμος πρόβασις. τρεῖς δὲ καὶ σφαιρῶν αἱ συστάσεις, κέντρον διάμετρον περιφερές. τρεῖς δὲ καὶ κινήσεις τῶν ἀστέρων, προποδισμὸς ὑποποδισμὸς ἀκρωνυχία. τρεῖς δὲ σωμάτων διαφοραί· τὰ μὲν γάρ ἐστιν ὑλικά, τὰ δὲ ἀέρια, τὰ δὲ ἐμπύρια, ὡς ὁ Χαλδαῖος παραδίδωσι. τρία δὲ καὶ ἑκάστου κινήματα σχήματος, πλάτος βάθος μῆκος. τρεῖς δὲ καὶ οἱ τὸ ζῳδιακὸν πλάτος ὁρίζοντες κύκλοι, θερινὸς τροπικός, χειμερινὸς τροπικός, ἰσημερινός. τρία δὲ καὶ τὰ ὑπέργεια κέντρα, ἀνατολὴ δύσις μεσουρά-

v. 2 Abel Fragm. Orphica 145 6 Aristoteles cf. Rr p. 303 sqq. Diels Doxographi gr. 392b 3 9 fragmentum Theophrasti referendum ad deperditos eius libros de musica. 16 cf. Kroll Or. Chald. p. 31

v. 1 ὅτι τρεῖς — 8 ἄσκησις *S* 2 τῆς γενέσεως desunt *XY* | νὺξ] νοῦς *S* 3 ἐν] ἐπὶ *S* 4 ἐπίγειον *XY*, καὶ ἐπίγειον *S* 5 καὶ omis. *S*, καὶ τῆς omis. *Y*, καὶ postea add. *G* | καὶ ἐπιθυμητικὸν *S* 6 παραδίδωσιν *B* 7 τὸν ὑλικὸν τὸν — τὸν *XS*, τὸ — τὸ — τὸ *Y* | ὧν omis. *D* 8 φύσις ἄσκησις ἄσκησις *M*, φύσις ἄσκησις μάθησις corr. M_2 *F* 9 τῆς omis. *D* | κιρνώσης *X* 10 μὴν] μὲν *D* 13 καὶ omis. *D* 13 sq. προδισμὸς ὑποδισμός *B* 14 ἀκονυχία *D*, καὶ ἀκρωνυχία *F* 16 παραδίδωσιν *B* 17 κινήματος σχήματος *XCDE*, κινήματα σχήματος *FGM* | μῆκος βάθος *X* 19 χειμερινὸς τροπικός omis. *X* 20 μεσουράνισμα, corr. -ημα *E*, μεσουράνισμα *D*

νημα. καὶ πολλὰ ἄν τις εἴποι περὶ τῆς κατ' αἴσθησιν XY τριάδος, καὶ ὁ σύμπας κόσμος ἐκ τριῶν δυνάμεων συστῆναι λέγεται, ἀριθμητικῆς γεωμετρικῆς ἁρμονικῆς· ἡ γὰρ νοητὴ ὑπερβέβηκε τὴν παροῦσαν ἐξέτασιν. ἴσμεν γάρ, ὅτι ἡ τριὰς τὴν τῶν θείων πρόοδον ἐκίνησε καὶ στάσιν αὐτοῖς τὴν αἰώνιον ἀπειργάσατο ἐν τῷ αὐτῷ εἴδει, ὥς φησιν ὁ Πυθαγόρειος Ὤκελλος ῥήμασι τούτοις· 'ἡ τριὰς πρώτη συνέστησεν ἀρχήν, μεσότητα καὶ τελευτήν.' ἡ γὰρ περιττὴ καὶ περαίνουσα ἰσότης δημιουργός ἐστι κατὰ τὴν τετράγωνον φύσιν· τὸ γὰρ θεῖον τρισὶ τούτοις χαρακτηρίζεται, τῷ ἐφετῷ, τῷ ἱκανῷ, τῷ τελείῳ. ἔτι μὴν καὶ ὁ ἐν Φαίδρῳ Σωκράτης, YS ἀλλὰ μὴν καὶ ὁ ἐν Πολιτείᾳ παραδίδωσιν, ὅτι τὸ νοητὸν τρίτην τινὰ φύσιν ἐν τῷ θείῳ τίθεται· ἔστι γὰρ αὐτοῦ τὸ μὲν ἀκρότατον οὐσία, τὸ δὲ μέσον ζωή, τὸ δὲ ἔσχατον νοῦς. ἀλλ' ἴσως ἐρεῖ τις· ποία κοινωνία τοῖς αἰσθητοῖς πρὸς τὴν νοητὴν τριάδα; ἰστέον τοίνυν, ὅτι τρεῖς τριάδας ὁ Τίμαιος παραδίδωσι, καὶ μάρτυς ὁ Πρόκλος ἐν ὑποτυπώσει τῆς Πλάτωνος φιλοσοφίας φάσκων, ὅτι ἡ τῶν νοητῶν ἀκρότης, τριὰς οὖσα νοητή, καὶ μονάς ἐστιν· ἑνὰς γὰρ τυγχάνειν δύναται, ἐν ἑαυτῇ τὴν πασῶν δυνάμεων αἰτίαν ἔχουσα καὶ

v. 7 Mullach hoc fragmentum Caecilio adtribuit FPhG II 53 12 Plato Phaedr. p. 246 A 13 Resp. p. 511 A

v. 1 *καὶ πολλὰ* — 2 *τριάδος* desunt *Y* 3 *λέγεται συστῆναι X* 4 *ὑπερβέβληκε Y* 6 *αἰωνίαν D* | *τῶ ἀκτωΐδι A*, *τῶ ἀκτωρίδι B*, *τῶ αὐτῶ εἴδει Y* 7 *κεκίλιος ὁ πυθαγόρειος Y* | *ὀκελλος ὁ πυθαγόρειος A*, *ὁ πυθαγόρειος ὤκελλος B* 8 *συνέστηκεν B* | *καὶ* omis. *X* 12 *τελείῳ.* reliqua huius paragraphi desiderantur *X* | *ὅτι ὁ ἐν Φαίδρῳ* — p. 28, 2 *περιέχονται S* 13 *τὸ* omis. *M* 14 *τριττήν M* | *ἔστι γὰρ*] *ἔστι μέν D* 16 *ἀλλ' ἴσως* — 18 *παραδίδωσι* omis. *S* 19 *πλάτωνος σοφίας F* 20 *νοητὸν D*

YS οὐσίαν, ὥς φησιν ὁ Παρμενίδης. πάντα γὰρ τὰ νοη-
Y τὰ ἐν τῇ τριάδι περιέχεται, καὶ πᾶς ὁ θεῖος ἀριθμὸς
ἐν τῇ τάξει ταύτῃ προελήλυθεν, ὡς καὶ αὐτὸς ὁ Χαλ-
δαῖος ἐν τοῖς λογίοις·

τῆσδε γὰρ ἐν τριάδος κόλποις ἔσπαρται ἅπαντα,

καὶ πάλιν·

τῆσδε γὰρ ἐκ τριάδος πᾶν πνεῦμα πατὴρ ἐκέρασσε.

διὰ μὲν τοῦτο οἱ Πυθαγόρειοι τριάδα μὲν ἐν ἀριθμοῖς, ἐν δὲ σχήμασι τὸ ὀρθογώνιον τρίγωνον ὑποτίθενται στοιχεῖον τῆς τῶν ὅλων γενέσεως. ἓν μὲν οὖν μέτρον ἐστί, καθ' ὃ συνέστη ὁ ἀσώματος καὶ νοητὸς κόσμος· δεύτερον δὲ μέτρον, καθ' ὃ ἐπάγη ὁ αἰσθητὸς οὐρανός, πέμπτην λαχὼν καὶ θειοτέραν οὐσίαν, ἄτρεπτον καὶ ἀμετάβολον· τρίτον δὲ καθ' ὃ ἐδημιουργήθη τὰ ὑπὸ σελήνην, ἐκ τῶν τεσσάρων δυνάμεων γένεσιν καὶ φθορὰν ἐπιδεχόμενα.

XY 9. Τὴν δὲ τετάρτην ἡμέραν Στίλβοντι, ἑνὶ τῶν Rr II, 8
πλανήτων κατ' Αἰγυπτίους οὕτω καλουμένῳ, ἀνέθεντο,
ὃς ἐξ ἴσου ποτὲ μὲν ὑγραίνει ποτὲ δὲ ξηραίνει, πνευμα-
τούμενος ὑπὸ τῆς περὶ τὸν ἥλιον ὀξυκινησίας· Ἑρμοῦ
XYS δὲ τοῦτον Ἕλληνες εἶναι βούλονται. αὐτῷ τοίνυν τὴν
τετράδα οἱ φιλοσοφοῦντες ἀνέθεντο ὡς ἐφόρῳ τῶν

v. 1 cf. Plat. Parmen. p. 145 5. 7 Kroll Or. Chald. p. 18

v. 1 φησι ὁ *D* 2 περιέχονται cet. des. *S* | ὁ omis. *D* 5 κόλποις ἐπάρχεται *Sch* codicibus vindicat, qui tamen omnes ἔσπαρται (*CDEFGM*) exhibent. 7 ἐκέρασεν *M*, ἐκέρασε rell. 10 γενέσεως] γίνεσθαι *D* 11 συνέστη ἀσώματος *D* 12 ἐπάγη αἰσθητός *D* 13 οὐρανὸς] νοῦς *M* 17 τὴν (τε add. *A*) τετάρτην ἡμέραν τῷ ἑρμῇ ἀνέθεντο ὃς ἐξ ἴσου inc. *X* 19 δὲ omis. *A* 20 Ἑρμοῦ — 21 βούλονται omis. *X* 21 ὅτι τῷ ἑρμῇ τὴν τετράδα — p. 29, 4 ἀρχύτας δὲ κύκλον αὐτήν φησιν *S*

μιγάδων ψυχῶν· τὰ γὰρ τῆς ψυχῆς στηρίγματα τέσ- XYS
σαρά ἐστι, νοῦς ἐπιστήμη δόξα αἴσθησις. ψυχὰ γὰρ
ἀνθρώπου, ὡς Πυθαγόρας ἔφη, ἔστι τετράγωνον ὀρθο-
γώνιον. Ἀρχύτας δὲ τῆς ψυχῆς τὸν ὅρον οὐκ ἐν τε- Y
τραγώνῳ, ἀλλ' ἐν κύκλῳ ἀποδίδωσι, 'διὰ τοῦτο ψυχὰ
τὸ αὐτὸ κινοῦν, ἀνάγκα δὲ τὸ πρῶτον κινοῦν, κύκλος
δὲ τοῦτο ἢ σφαῖρα'. καὶ οὕτω μὲν ἐπὶ τοῦ νοητοῦ, XY
οὐδὲν δὲ ἧττον κἀπὶ τοῦ αἰσθητοῦ ἐστι συνιδεῖν ἐν
ταῖς τῶν ζώων γενέσεσι· πρῶτον μὲν γάρ ἐστι σπέρ- Y
ματος καταβολή, δεύτερον δὲ ἡ εἰς τὰ γένη διανομή,
τρίτον αὔξησις, καὶ τέταρτον τελείωσις. ἀλλὰ μὴν τέσ- XY
σαρές τε ἡλίου τροπαί, καθ' ἃς τὰ ὄντα συντηρεῖται,
ἰσημερίαι δύο, θερινὴ καὶ χειμερινὴ τροπή. τέσσαρες
δὲ καὶ αὐτῆς τῆς σελήνης αἱ πρῶται φάσεις ὥσπερ
ῥίζαι καὶ ἀρχαί, σύνοδος πανσέληνος διχότομοι δύο,
ἑκάστης φάσεως ἀλλοιούσης τὴν ἐνέργειαν· ἀπὸ μὲν XYH
γὰρ συνόδου ἕως διχοτόμου ὑγραίνει, ἀπὸ δὲ ταύτης
ἕως πανσελήνου θερμαίνει, ἀπὸ δὲ ταύτης ἕως τῆς
δευτέρας διχοτόμου ξηραίνει, ἐκ δὲ ταύτης ἕως ἐπὶ

v. 4 Archytas v. Zeller Phil. d. Gr. III 2[3] 105.

v. 2 ἐστι] εἰσι *C* | ψυχᾶ A, ψυχὴ A_2, ψυχὰ rell. 3 ἀνθρώπων *S* | φησίν ὁ πυθαγόρας *Y*, ὡς πυθαγόρας ἔφη *XS* | εὐθυγώνιον *Y* | τετράγωνον καὶ εὐθύγωνον·ον·*F* 4 Ἀρχύτας — 7 σφαῖρα desunt *X*, ἀρχύτας δὲ κύκλον αὐτήν φησιν *S* 6 πρᾶτον *FG* | κινοῦν omis. *D* 7 οὕτως *B* 8 οὐδὲν] οὐδὲ *A* 9 ἐστι] ὡς *D* | σπέρματος — 10 διανομὴ desunt *X*, lacuna quindecim fere litterarum *B* | διαμονὴ *Y*, διανομὴ ci. G. Wissowa collato Plat. Tim. p. 73 C 11 καὶ omis. *X* | μὴν καὶ τέσσαρες *F* 12 τε] τοῦ *D* | καθ' ἃς] εἰς ἃς *X* 13 ἰσημερίαι — τροπή desunt *Y* 14 φαύσεις *B* 16 φαύσεως *B*, φύσεως *M* | φυσικῶς δὲ ἡ σελήνη ἀπὸ μὲν συνόδου — p. 30, 7 ξηροτάτη ὥρᾳ *H* f. 168v. 17 ἀπὸ δὲ ταύτης ἕως] ἐκ δ' ἐκείνης ἐπὶ τῆς *XH* 19 ἐκ — p. 30,1 ψύχει desunt *XH*

XH σύνοδον ψύχει. ἔνθεν οἶμαι τοὺς περὶ γεωργίαν ἐσχο-
λακότας ἀσφαλῶς σπείρειν μὲν καὶ φυτεύειν περὶ συ-
νόδους ἢ πανσελήνους, οἷα δὴ ἐν ὑγροτέρῳ τηνικαῦτα
τῷ ἀέρι καὶ πρὸς γένεσιν ἄλλων κεκινημένῳ· περὶ δὲ
τὰς διχοτόμους ὕλην τε, ὅση ἐργάσιμος, κόπτουσι καὶ
τοὺς πρὸς ἀπόθεσιν καρποὺς συγκομίζουσιν, οἷα δὴ ἐν
X ξηροτέρᾳ τῇ ὥρᾳ. καὶ ταῦτα μὲν ἐπὶ τῶν αἰσθητῶν
XY καὶ νοητῶν. περὶ δὲ τοῦ κατ' ἀριθμὸν ἀξιώματος ὁ
τέταρτος ἀριθμὸς τετράγωνός ἐστι. μόνος γὰρ ἰσάκις
ἴσος ἰσομερὴς ἐκ τῶν αὐτῶν καὶ συνθέσει καὶ δυνάμει
X πέφυκε γεννᾶσθαι, σύνθεσιν μὲν οὖν ἐκ δυεῖν καὶ
δυεῖν, δύναμιν δὲ ἐκ τοῦ δὶς δύο, πάγκαλόν τι συμ-
XY φωνίας εἶδος ἐπιδεικνύμενος, ὃ μηδενὶ τῶν ἄλλων
ἀριθμῶν συμβέβηκεν, ὅθεν καὶ ἀποτελεσματικὸς καλεῖ-
ται· εἰ γὰρ ἀπὸ μονάδος μέχρι τετράδος ἑξῆς συντε-
θεῖεν ἀριθμοί, δεκάδα ἀποτελοῦσιν.

XYS 10. *Τὴν δὲ πέμπτην Φαέθοντι, τῷ πάντων πλανή-* Rr II, 9
των εὐκρατοτάτῳ ἀνέθεντο· Δία δὲ αὐτὸν Ἕλληνες
ζωογόνον θεολογοῦσιν. ὅθεν καὶ ἐν Κρήτῃ τεχθῆναι
μυθικῶς αὐτὸν βούλονται, ἐν ᾗ θανάσιμον οὐδὲν φύε-
ται, ἀλλ' οὐδὲ λύκος ἢ γλαὺξ εὑρίσκεται, ὥς φησιν
XY Ἀντίγονος. καὶ οὐράνιος δὲ καλεῖται κατὰ τὴν ἐν πεν-

v. 22 Antig. mirab. c. 10: *οὐ γίνεται τοῦτο τὸ ζῷον, ἀλλὰ κἂν εἰσαχθῇ τελευτᾷ, καθάπερ αἱ γλαῦκες ἐν Κρήτῃ, ἐν ᾗ λέγουσι οὐδὲ ζῷον θανάσιμον οὐδὲν τὴν χώραν φέρειν.*

v. 1 *ἔνθεν* — 8 *ἀξιώματος* desunt *Y* 1 *ἔχοντας X*, *ἐσχολακότας H* 7 *ξηροτάτῃ ὥρα H* 9 *τέταρτος ἀριθμὸς*] *δὲ τέτταρα καὶ Y* 10 *συνθέσει*] *σύνθεσις B* 11 *γενέσθαι C* | *σύνθεσιν* — 13 *ἐπιδεικνύμενος* desunt *Y* | *δυοῖν καὶ δυεῖν X* 14 *ἀριθμῶν* omis. *Y* 15 *ἄχρι Y* | *ἑξῆς* omis. *Y*, *ἐξ ἧς B* | *συντεθεῖεν* omis. *D* 16 *ἀριθμοὶ* omis. *Y* | *ὁ δέκα ἀποτελεῖται Y* 17 *ὅτι τὴν πέμπτην* — 22 *ἀντίγονος S* 18 *εὐκρατωτάτω A*, prius *τω* del. A_2 | *ἀνέθεντο* omis. *XY* | *διὰ XCDE*, *δἰα FGMS* 20 *βούλεται M* 22 *ἐν πεντάδι* omis. *X*

τάδι κυκλοφορικὴν οὐσίαν, ἐξ ἧς φασιν ἀποτελεσθῆ- XY
ναι τὸν οὐρανὸν κατὰ τὸν Ἀριστοτέλην. ἡ γὰρ πεν- Y
*τὰς παραλαβοῦσα τὴν τετράδα ὕλης λόγον ἔχουσαν
τρόπον τινὰ καὶ ὑποκείμενον τοῖς ἐξ αὐτῆς φυομένοις,
ηὔξησέ τε αὐτὴν καὶ προήγαγεν ἐπὶ τὴν ἀπὸ τῆς αὐξή-
σεως αἰώνιον ἀνακύκλησιν· μεθόριον γὰρ τῆς δεκάδος
καὶ ὡς ἂν εἴδωλόν ἐστι τῆς κοινῆς τελειότητος ἡ πεν-
τάς. καὶ πλανώμενοι πλὴν ἡλίου καὶ σελήνης πέντε,
καὶ κύκλοι ἐν σφαίρᾳ πέντε καὶ ζῶναι πέντε. τῆς* YS
*δὲ αἰσθήσεως λέγεται δημιουργὸς παρὰ τοῖς φιλοσόφοις
ὁ Ζεὺς καὶ εἰκὸς ἦν αὐτῷ τὴν πεντάδα κατὰ φύσιν
ὥσπερ ἀνατεθῆναι· συγγενὴς γὰρ ἡ πεντὰς τῇ αἰσθήσει,
ἥτις πενταχῶς τέμνεται, εἰς ὅρασιν ἀκοὴν γεῦσιν ὄσ-
φρησιν καὶ ἁφήν. καὶ τούτου χάριν ὁ Πυθαγόρας
Εἱμαρμένῃ τὸν πέντε ἀριθμὸν ἀνακεῖσθαί φησιν, ἐπεὶ
τῶν αἰσθητῶν κατάρχειν τὴν Εἱμαρμένην λόγος· ταύτῃ
τὰς ἀποκαθισταμένας ψυχὰς ὑπερβαίνειν τὴν Εἱμαρ-
μένην φησὶ τὸ λόγιον·*

οὐ γὰρ ὑφ' εἱμαρτὴν ἀγέλην πίπτουσι θεουργοί.

RrII,10 11. *Τὴν δὲ ἕκτην ἀναφέρουσι Φωσφόρῳ, θερμαί-* XY
νοντι ἅμα καὶ γονίμως ὑγραίνοντι· οὗτος δὲ ἂν εἴη

v. 2 Aristoteles *περὶ οὐρανοῦ* I p. 268 Bekker 19 Kroll de or. Chald. p. 59

v. 1 *κυκλοφορητικὴν* *Y* | *οὐσίαν.* reliqua huius paragraphi desunt *X* 2 *ἀριστοτέλη* *M* 4 *ὑποκειμένην* *D* 6 *ἀνακύκλωσιν* *D* 10 *ὅτι αἰσθήσεως δημιουργὸς λέγεται* — 19 *θεουργοί* *S* | *παρὰ*] *περί* *C* | *τοῖς* omis. *Y* | *δσμιουργὸς ὁ ζεὺς παρὰ φιλοσόφοις* *D* 11 *ἦν ἐν αὐτῷ* *CEF*, *ἦν αὐτῷ* *DM*, *καὶ διὰ τοῦτο αὐτῷ ἡ πεντὰς ἀνάκειται συγγενὴς οὖσα τῇ αἰσθήσει* *S* 13 *εἰς ὅρασιν* — 14 *ἁφήν* omis. *Y* | *ἀκοὴν* — 14 *ἁφὴν* in rasura *S* 15 *εἱμαρμένην* *D* 16 *λόγος* — 17 *εἱμαρμένην* desunt *S* 21 *ἅμα* — p. 32, 1 *Ἀφροδίτης* desunt *X*, *θερμαίνοντιασσπερος ὡς* *A*, *θερμαίνοντι ὁ καὶ ἕσπερος ὡς ἕλλησι* corr. A_2

XY ὁ Ἀφροδίτης ὁ καὶ Ἕσπερος, ὡς Ἕλλησι δοκεῖ· Ἀφροδίτην δὲ ἄν τις εἴποι τὴν τοῦ παντὸς αἰσθητοῦ φύσιν, τουτέστι τὴν πρωτογενῆ ὕλην, ἣν καὶ Ἀστερίαν καὶ Οὐρανίαν καλεῖ τὰ λόγια. ὁ γὰρ ἓξ ἀριθμὸς γεννητικώτατός ἐστιν ὡς ἀρτιοπέριττος, μετέχων καὶ τῆς δραστικῆς οὐσίας κατὰ τὸν περιττὸν καὶ τῆς ὑλικῆς κατὰ τὸν ἄρτιον. ὅθεν καὶ οἱ ἀρχαῖοι γάμον καὶ ἁρμονίαν αὐτὸν ἐκάλεσαν· τῶν γὰρ ἀπὸ μονάδος μόνος
X τέλειός ἐστι τοῖς ἑαυτοῦ μέρεσι, συμπληρούμενος ἐκ τῶν αὐτῶν, ἡμίσους μὲν τριάδος, τρίτου δὲ δυάδος,
XY ἕκτου δὲ μονάδος. καὶ ἁπλῶς εἰπεῖν ἄρρην τε καὶ θῆλυς εἶναι πέφυκεν, ὡς καὶ αὐτὴ Ἀφροδίτη τὴν τοῦ ἄρρενος τήν τε τοῦ θήλεος ἔχουσα φύσιν καὶ διὰ τοῦτο
X παρὰ τοῖς θεολόγοις ἀρρενόθηλυς καλουμένη. καὶ ἄλλος φησίν· ὁ ἓξ ἀριθμὸς ψυχογονικός ἐστιν ἀπὸ ἑξάδος ἐπιπεδούμενος τῇ τοῦ παντὸς σφαίρᾳ, καὶ τὰ ἐναντία δὲ κατακεράννυσιν. εἰς ὁμόνοιαν καὶ φιλίαν ἄγει, ἔπειτα δὲ ὑγείαν μὲν ἐμποιῶν τοῖς σώμασι, συμφωνίαν δὲ ἐν λύρᾳ καὶ μουσικῇ καὶ ἀρετὴν ἐν ψυχῇ καὶ ἐν πόλει εὐθηνίαν ἔν τε τῷ παντὶ πρόνοιαν. ὅθεν
X καὶ Ὀρφεὺς περὶ ἑξάδος ταῦτά φησι·

v. 4 Kroll de or. Chald. p. 10[1].

v. 2 εἴπη *F* 3 πατρογενῆ *X* πατρογενῆ (πρωτο supra) *EM* πρωτογενῆ (ατρο supra) *G*, πρωπατρογενῆ *C*, πρωτογενῆ *DF* 5 ἀρτιοπέριτος *A*, -ιττος corr. A_2 7 ὅθεν οἱ *X* 8 αὐτὸν omis. *D* 9 τοῖς — 11 μονάδος desunt *Y* 11 ἕκτου δὲ μονάδος desunt *B* 12 πέφυκε. καὶ γὰρ καὶ ἡ ἀφροδίτη (ἀφροτίδη *B*) *X* 13 ἄρενος καὶ θήλεος *X*, ἄρρενος τήν τε τοῦ θήλεος *Y*. Lambecius in Codinum p. 153 nro. 28: καὶ γὰρ καὶ ἡ Ἀφροδίτη τὴν τοῦ ἄρρενος καὶ θήλεος ἔχουσα φύσιν ἀρρηνόθηλυς καλεῖται. | καὶ — 14 θεολόγοις omis. *B* 14 καλεῖται *B*, καλουμένη *AY*, reliqua huius paragraphi desunt *Y* | ἄλλος *A*, ἄλλως *B* 15 ἐξ *B* 17 φιλίαν καὶ ὁμόνοιαν *B* 18 ἐκποιῶν *B* 20 θηνίαν *A*, εὐ add. A_2

ἵλαθι κύδιμ' ἀριθμέ, πάτερ μακάρων, πάτερ ἀνδρῶν. X

Rr II,11 12. Τὴν ἑβδόμην ἡμέραν Αἰγύπτιοι μὲν καὶ Χαλ- XY
δαῖοι προσφωνοῦσι Φαίνοντι, οὕτω κατ' αὐτοὺς προσ-
αγορευομένῳ ἀστέρι τῷ πάντων ἀνωτάτῳ, ψύχοντι
ἄκρως καὶ προσεχῶς ξηραίνοντι, Κρόνον δὲ αὐτὸν Ἕλ-
λησιν ἔθος καλεῖν κατὰ μὲν θεολογίαν, κατὰ δὲ ἐτυ-
μολογίαν διακορῆ νοῦν, οἱονεὶ πλήρη καὶ μεστὸν ἐτῶν,
ἀντὶ τοῦ Μακραίωνα, ὡς εἴρηται. οἵ γε μὴν Πυθα- XYS
γόρειοι τῷ ἡγεμόνι τοῦ παντὸς τὴν ἑβδόμην ἀνατίθεν-
ται, τουτέστι τῷ ἑνί, καὶ μάρτυς Ὀρφεὺς λέγων οὕτως·

ἑβδόμη, ἣν ἐφίλησεν ἄναξ ἑκάεργος Ἀπόλλων.

Ἀπόλλωνα δὲ μυστικῶς τὸν ἕνα λέγεσθαι προειρήκαμεν
διὰ τὸ ἄπωθεν εἶναι τῶν πολλῶν, τουτέστι μόνον.
ὀρθῶς οὖν ἀμήτορα τὸν ἑπτὰ ἀριθμὸν ὁ Φιλόλαος
προσηγόρευσε, μόνος γὰρ οὔτε γεννᾶν οὔτε γεννᾶσθαι
πέφυκε· τὸ δὲ μήτε γεννῶν μήτε γεννώμενον ἀκίνητον·
ἐν κινήσει γὰρ ἡ γέννησις, τὸ μέν, ἵνα γεννήσῃ, τὸ XS
δέ, ἵνα γεννηθῇ· τοιοῦτος δὲ ὁ θεός, ὡς καὶ αὐτὸς

v. 1 Abel Frgm. Orph. 147   10 Abel Frgm. Orph. 148

v. 1 μακαρίων X, μακάρων Sch   2 ἡμέραν omis. Y   3 οὕτως X   4 τῷ πάντων] τῶν πάντων Y   5 ἄκρος A   6 θεολογίαν οἷα διακορῆ νοῦν (διακονὴν οὖν B -ρῆν οὖν corr. B, διακορῆν οὖν A -νῆν οὖν A_2 marg.) κατὰ δὲ ἐτυμολογίαν οἱονεί codd., corr. Sch   8 ἀντὶ μακραίωνα ὡς εἴρηται X, ἀντὶ τοῦ μακραίωνα Y | ὁ γὰρ ἕβδομος ἀριθμὸς ἡλίου ἐστίν· οἱ γὰρ πυθαγόρειοι — p. 34, 5 ἐμφανῶν θεῶν S   10 μάρτυς omis. XS | ὁ ὀρφεὺς S   12 Ἀπόλλωνα — 13 μόνον desunt Y   13 διὰ — μόνον omis. S   14 ἀκμήτορα B   15 οὐδὲ — οὐδὲ AS   16 πέφυκε· τὸ δὲ τοιοῦτον ἀκίνητον Y   17 γέννησις· ἐπειδὴ καὶ τὸ γεννῶν καὶ τὸ γεννώμενον οὐκ ἄνευ κινήσεώς ἐστι. τὸ μὲν ἵνα X, ἀκίνητον πέφυκε· τοιοῦτος δὲ ὁ θεός· φησὶ γοῦν καὶ ὀνήτωρ S | τὸ μὲν — p. 34, 3 ὅμοιος desunt Y

XS ὁ ῥήτωρ ὁ Ταραντῖνος· φησὶ δὲ οὕτως· ‘ἔστι γὰρ ἡγε-
μὼν καὶ ἄρχων ἁπάντων εἷς ἀεὶ ὢν θεός, μόνιμος
XYS ἀκίνητος αὐτὸς ἑαυτῷ ὅμοιος.’ οἱ δὲ μαθηματικοὶ
πρὸς τὸ μυθικώτερον ῥέποντες τῷ Κρόνῳ τὴν ἑβδόμην
Y ἡμέραν προσφωνοῦσιν, οἱονεὶ τῷ πατρὶ τῶν ἐμφανῶν
θεῶν. ἐπειδὴ γὰρ τῶν πλανωμένων πάντων ὑψηλό-
τερος ὁ τοῦ παρ’ αὐτοῖς Κρόνου λέγεται ἀστήρ, αὐτῷ
δῆθεν τὴν ἑβδόμην ἡμέραν ἀνέθεντο ὡς ἀνωτάτῳ
XY πάντων. ἡ τοίνυν ἑβδομὰς συνέστηκεν ἐξ ἑνὸς καὶ
δυοῖν καὶ τεττάρων, ἔχουσα δύο λόγους ἁρμονικωτά-
X τους, τόν τε τριπλάσιον καὶ τὸν τετραπλάσιον. ἔχει
δὲ καὶ διαιρέσεις ζυγάδην τρόπον τινὰ συνεστώσας·
διαιρεῖται γὰρ πρῶτον εἰς μονάδα καὶ ἑξάδα, ἔπειτα
εἰς πεντάδα καὶ δυάδα, καὶ τελευταῖον εἰς τριάδα καὶ
τετράδα· μουσικωτάτη δὲ ἡ τούτων τῶν ἀριθμῶν ἀνα-
λογία. διατείνει δὲ αὐτῆς ἡ φύσις καὶ ἐπὶ τὴν ὁρατὴν
ἅπασαν οὐσίαν, οὐρανὸν καὶ γῆν· αὐτίκα γοῦν οὐρα-
νόν φασιν ἑπτὰ διεζῶσθαι κύκλοις, ὧν ὀνόματα τάδε·
ἀρκτικὸς ἀνταρκτικὸς θερινὸς χειμερινὸς ἰσημερινὸς ζω-
διακὸς καὶ προσέτι γαλαξίας· ὁ γὰρ τοιοῦτος ἀριθμὸς
θεῖός ἐστιν. ὅθεν τὰ κατὰ τὴν ἡμετέραν ψυχὴν διὰ
τοῦ ἡγεμονικοῦ λόγου ἑπταχῆ σχίζεται, πρός τε πέντε

v. 1 Philolaus apud Philonem de opif. mundi p. 34 Cohn-Wendland, Boeckh Philolaos p. 151

v. 1 ὁ ῥήτωρ ὁ *B*, in corr. *A*, ὀνήτωρ ὁ *S* | φησὶ δὲ omis. *S* 2 ὁ πάντων *BS*, ἁπάντων *A* 3 οἱ δὲ μυθικοὶ τῷ κρόνῳ τὴν ἑβδόμην ἡμέραν (ἡμέραν omis. *B*) ἀνέθεντο ὡς ἀνωτάτῳ πάντων. ἡ ἑβδομὰς συνέστηκεν *X* | οἱ δὲ μαθηματικοὶ μᾶλλον ἐπὶ τὸ μυθικὸν ῥέποντες *S* 4 τῷ omis. *S* 5 πατρί] πρώτῳ *S* 10 δυοῖν] δύο *X* | ἔχουσα] ἐχόντων *Y* | ἁρμονικωτάτους *A*, -κοτάτους *A*, marg. 11 τριπλάσιον] διπλάσιον *Y* | ἔχει — p. 35, 11 βραχεῖα desunt *Y* 12 διαίρεσις *B* 17 ἁπάντων in corr. *A*, ἅπασαν *B* 19 θερινὸς omis. *B*

αἰσθήσεις καὶ τὸ φωνητικὸν ὄργανον καὶ ἐπὶ πᾶσι τὸ X
γόνιμον. καὶ τὸ πᾶν δὲ τοῦτο ἐν ἑπτὰ θεωρεῖται· ἐν
σώματι ἐν διαστάσει ἐν σχήματι ἐν μεγέθει ἐν χρώματι
ἐν κινήσει ἐν στάσει· καὶ παρὰ ταῦτα οὐδὲν ἕτερον
συμβέβηκε τοῖς δρωμένοις· τῶν γὰρ αἰσθητῶν τὰ στε-
ρεὰ προὐπινοεῖται, τῶν δὲ στερεῶν τὰ ἐπίπεδα, τῶν
δὲ ἐπιπέδων αἱ ἐπιφάνειαι, τῶν δὲ ἐπιφανειῶν αἱ
γραμμαί, τῶν δὲ γραμμῶν αἱ στιγμαί, τῶν δὲ στιγμῶν
οἱ ἀριθμοί, οἳ δὴ καὶ τῷ σώματι τυγχάνουσιν. ἑπτὰ
δὲ καὶ φωνῶν μεταβολαί, ὀξεῖα βαρεῖα περισπωμένη
σύμφθογγος ψιλή τε καὶ μακρὰ καὶ βραχεῖα. ἔνθεν XY
καὶ τὰ ἑπτάμηνα βρέφη τελειογονεῖσθαι πέφυκεν, ὡς
Ἱπποκράτης λέγει· ἡ γὰρ τοῦ ἀριθμοῦ ψυχογονικὴ δύ- XYS
ναμις τὰ ἑπτάμηνα τέλεια ἀποφαίνει, διότι τελείας
περίοδος σφαιρικῆς ἀριθμῷ τελείῳ καὶ κοσμικῷ, τῷ
ψυχοκρατητικῷ καὶ ψυχογονικῷ περιέχεται· καὶ γὰρ
τὴν ψυχὴν ὁ Τίμαιος ἐξ ἑπτὰ ἀριθμῶν συνέστησε.
καὶ κινήσεις δὲ αἱ πᾶσαι μόναι εἰσὶν ἑπτά, ἥ τε ἄνω XS
ἥ τε κάτω, ἡ ἐπιδέξια ἡ εὐώνυμα ἡ πρόσω ἡ κατόπιν ἡ
ἐν κύκλῳ. στοιχείων δὲ τὰ φωνήεντα ἑπτά, ἐπειδὴ XY
καὶ ἐξ ἑαυτῶν ἔοικε φωνεῖσθαι καὶ τοῖς ἄλλοις συν-

v. 12 Hippocrates *περὶ ἑπταμήνου* ed. Kühn I 444, cf. Diels Doxogr. gr. 428[a] 16, [b] 1   16 Plat. Tim. p. 36 D

v. 3 *σώμασι A, σώματι* A_2 marg. *B*   6 *προϋπονοεῖται A*   9 *σώματοι τυχάνουσιν A, ἀσώματοι* ci. Gu. Kroll   12 *καὶ τὰ ἑπτάμηνα δὲ τελειογονεῖσθαι Y* | *ὡς Ἱπποκράτης λέγει* omis. *Y*   13 *ὅτι ἡ τοῦ ἀριθμοῦ ψυχαγωγική* inc. *S* | *ψυχαγωγικὴ XS*   15 *περιόδου XY* | *καὶ ἀριθμῷ X*   16 *ψυχοκρατητικῷ τε καὶ Y*   17 *συνέστηκε B*   18 *καὶ κινήσεις* — 20 *ἐν κύκλῳ* omis. *Y* | *δὲ* omis. *S* | *μόναι* omis. *S* | *ἑπτά εἰσιν S* | *ἡ κύκλω ἡ ἄνω ἡ κάτω καὶ αἱ ἑξῆς καὶ οὐδὲ ἡ ὑδάτων* (p. 36, 5) *S*   19 *δεξιά A, ἐπὶ δέξια B* | *καὶ εὐώνυμα B* | *καὶ κατόπιν B*   20 *καὶ φωνήεντα δὲ ἑπτά, ἅπερ ἐξ ἑαυτῶν φωνοῦντα τοῖς μὲν ἡμιφώνοις συναπτόμενα ἀναπληροῖ τὸ ἐνδέον, τοῖς δὲ ἀφώνοις τρέπει καὶ κτλ.* (p. 36, 3) *Y*

XY ταττόμενα φωνὰς ἐνάρθρους ἀποτελεῖν· τῶν γὰρ ἡμιφώνων ἀναπληροῖ τὸ ἐνδέον, ὁλοκλήρους δὲ κατασκευάζει τοὺς φθόγγους, τῶν δὲ ἀφώνων τρέπει τε καὶ μεταβάλλει τὰς φύσεις, ἵνα γένηται τὰ ἄρρητα XS ῥητά. καὶ τί μακρηγοροῦμεν, ὅταν οὐδὲ ἡ τῶν ὑδάτων φύσις ἔξω τῆς δυνάμεως τῆς ἑπτάδος ἀπολέλειπται; ὁ γοῦν Διονύσιος ἐν ταῖς Κτίσεσί φησι, τὸν Χαλκιδικὸν Εὔριπον ἑπτάκις καθ᾽. ἡμέραν στρεφόμενον κατὰ μόX νας τὰς ἑβδομάδας ἵστασθαι. καὶ ἐξ αὐτοῦ δὲ τοῦ νοητοῦ αἰῶνος ἔστι συνιδεῖν τοὺς ἀρτέμονας· συνάγονται μὲν γὰρ πρῶτον ἐξ ὡρῶν, εἶτα ἡμερῶν, εἶτα ἑβδομάδων, ἔπειτα μηνῶν, εἶτα ἐνιαυτῶν, ἐκεῖθεν καιρῶν, καὶ τὸ λοιπὸν αἰώνων, πρὸς τὸ ἀρχέτυπον εἶδος τοῦ νοητοῦ καὶ πατρογενοῦς αἰῶνος.

LIBER TERTIUS.

X

Περὶ μηνός.

S 1. Ὅτι Ἀνάχαρσις ὁ Σκύθης ἔφη φιλονεικίαν deest Rr
γενέσθαι ποτὲ Αἰγυπτίοις καὶ Σκύθαις περὶ ἀρχαιότητος ἑκατέρων, ἴσως ἐξ ἑκατέρων τῶν ἄρκτων προέχειν τῶν πραγμάτων ἀξιούντων, κριθῆναι δὲ τοὺς Σκύθας εἶναι πρεσβυτέρους διὰ τὸ καὶ ὑπὸ τὴν μεγάλην ἄρκτον

v. 7 Dion. Chalcid. frg. 8, FHG IV 395

v. 4 *φύσεις αὐτῶν* *Y* 5 *ῥητά.* reliqua desiderantur *Y*, ubi sequuntur *ὅτι φεβρουάριος* — *φειδομένας μοίρας* e libro III § 10 desumpta (v. ad p. 48, 6) | *οὐδὲ ἡ τῶν ὑδάτων* inc. *S* 6 *ἀπολέλειπται* *X*, *ἀποτελεῖται* *S* 7 *ἐν ταῖς κτίσεσι* omis. *S*, *κτήσεσι* *A* | *χαλκηδικὸν ἔριππον* *S* 9 *ἵστασθαι.* reliqua desunt *S* 10 *ἀρτίμονας* *A* 16 *ἐκ τῶν περὶ μηνός* *A* *ἐκ τῶν περὶ μηνῶν* *B*

κεῖσθαι τὴν κατ' αὐτοὺς χώραν καὶ κατὰ φύσιν ὥσπερ S *ἐξ ὑπερῴας ἀρχὴν τὴν καθ' ἡμᾶς θάλασσαν ἐκ τοῦ ὑπερβορείου λαμβάνειν ὠκεανοῦ· δύο γὰρ εἰσβολὰς εἶναι τὰς ἀποτελούσας αὐτὴν παντὶ δῆλον· μίαν μὲν ἐξ Ἱσπανίας, τὴν δὲ ἑτέραν, ὡς εἴρηται, ἐκ τοῦ ὑπερβορείου ὠκεανοῦ, ὃν καὶ Κρόνιον πέλαγος οἱ χωρογράφοι καλοῦσι, παρὰ τὴν Πτολεμαίου δόξαν· αὐτὸς γὰρ μίαν καὶ μόνην εἰσβολὴν εἶναι τὴν ἐκ τοῦ δυτικοῦ ὠκεανοῦ βούλεται τὴν διὰ Γαδείρων. καὶ ἐπὶ μὲν τῆς καθόλου παλαιότητος Σκύθας ἄν τις ὑπολάβῃ πρωτεύειν ἐκ τῆς ῥευστῆς οὐσίας, ἣν τῶν στοιχείων πρώτην εἶναι ἀναμφισβήτητον. ὅθεν καὶ Πάρθοι ἤτοι Πέρσαι μέγα φρονοῦσιν ἐπὶ παλαιότητι· Σκύθας δὲ αὐτοὺς εἶναι πάντες μὲν μαρτυροῦσιν, Ἀρριανὸς δὲ δείκνυσι· τὸ γὰρ Πάρθος ὄνομα ὁ Σκύθης καὶ ἔπηλυς κατ' αὐτὸν τῇ Σκυθῶν φωνῇ ἑρμηνεύεται. ἐπὶ δὲ τῆς ἑλληνικῆς ἀρχαιότητος πρώτους πάντων ἀνθρώπων μετὰ Δευκαλίωνα Ἕλληνας παραδίδωσι τὰ βιβλία Ἀρκάδας τε καὶ Σικυωνίους, ὡσανεὶ ἀρχάδας καὶ ἀρχετύπους καὶ πρωτογενεῖς· ὅθεν καὶ Πᾶνα Ἀρκάδες ἐτίμησαν, τουτέστι τόδε τὸ πᾶν, μηδὲν παρὰ τὰ αἰσθητὰ εἶναι νομίσαντες. ὅτι καὶ προσελήνους αὐτοὺς ὁ μῦθος ἔχει· οὐχ ὅτι πρὸ τῆς σελήνης ἀνθρώπους ἄν τις δοίη ποτέ· ἀλλ' ὅτι πρὸ διατυπώσεως τῶν μηνῶν Ἀρκάδας φησὶ καὶ Σικυωνίους γενέσθαι.*

v. 7 Ptolem. geogr. VII, 5, 3   14 Arriani fragmentum e primo libro *Παρθικῶν* deperditorum.

v. 3 et 6 *ὑπερβορίου* *S*   12 *ὅθεν* — 16 *ἑρμηνεύεται* eadem manu in margine scripta asteriscis adpictis huc referuntur *S*   15 *πάρθ* . . *S*

H 2. *Τὸν μῆνα κατὰ τὸν σεληνιακὸν δρόμον ἠρίθ-* Rr III, 1
X H *μουν οἱ παλαιοί, ἔνθεν καὶ μὴν προσαγορεύεται ἀπὸ*
τῆς μήνης, τουτέστι τῆς σελήνης· σελήνη δὲ ἀπὸ τοῦ
H *σέλας ἀεὶ νέον ἔχειν. μὴν γάρ ἐστι χρόνος ὁπόσον*
ἂν ὁ ἥλιος διηνυκὼς εἴη, ἐν ᾧ τὸ ἀπὸ τοῦ ἡλιακοῦ
κέντρου φῶς ἐπὶ τὴν σελήνην φερόμενον καὶ περιο-
δεῦσαν εἰς τὸν αὐτὸν ἀποκαταστῇ τόπον ὅθεν ἤρξατο
περιοδεύειν· ὅθεν καὶ ἀπὸ συνόδου εἰς σύνοδον τὴν
νεομηνίαν τιμῶντες συνελογίζοντο τὸν ἐνιαυτὸν τεσσά-
ρων καὶ πεντήκοντα καὶ τριακοσίων ἡμερῶν εἶναι,
ὥστε ἑκάστῳ μηνὶ περιβάλλειν ἐννέα καὶ εἴκοσι πρὸς
τῇ ἡμισείᾳ ἡμέρας.

S 3. *Ὅτι Τίμαιος νῦν μὲν γεννητὸν κατ' αἰτίαν, νῦν* deest Rr
δὲ ἀγέννητον τὸν κόσμον ὁρίζεται· ἀγέννητον μὲν διὰ
τὰς ἐν αὐτῷ νοητὰς δυνάμεις, γεννητὸν δὲ οἷα ὁρατὸν
ἁπτόν τε ἅμα καὶ σῶμα ἔχοντα.

X 4. *Κύκλος παντὸς ἀριθμοῦ ἐστιν ἡ δεκὰς καὶ* Rr III, 2
πέρας· περὶ αὐτὴν γὰρ εἱλούμενοι καὶ κατακάμπτοντες
ὥσπερ καμπτῆρα δολιχεύουσιν οἱ ἀριθμοί. ὅρος γάρ
ἐστι τῆς ἀπειρίας αὐτῶν· ἀπὸ γὰρ μονάδος ἄχρις αὐ-
τῆς καὶ μόνης ἀριθμήσαντες καὶ στάντες ἐπ' αὐτὴν
αὖθις ἐπὶ τὴν μονάδα ἀναστρέφομεν. ὅτι δὲ παντὸς
ἀριθμοῦ συνεκτικὴ ἡ δεκάς, μάρτυς ἡ φύσις, μὴ πλείους
τῶν δέκα δακτύλων ἀλλὰ μηδὲ ἐλάττους ἀνθρώπῳ
παρασχοῦσα. οὕτως ἄρα καὶ ἐπὶ τῆς τοῦ ἐνιαυτοῦ
φύσεως ἔστιν εὑρεῖν, ὅτι συμπληρούμενος αὖθις, ὥσπερ
ὁ δέκα ἀριθμός, εἰς ἑαυτὸν ἀναστρέφει· καὶ ταύτῃ 3

v. 13 cf. Plat. Tim. p. 26 C

v. 2 *μῆνες προσαγορεύονται — 3 παρὰ τὸ σέλας νέον ἔχειν* *X* 18 *εἰλούμενοι B* 24 *ἐλάτους A*, *-ττους* corr. A_2 26 *ὅτι*] *ὅπι A*

ἐνιαυτὸς ὠνομάσθη, παρὰ τὸ ἐν ἑαυτῷ κινεῖσθαι αὐ- YS *τόν· κύκλος γάρ ἐστιν ἐφ' ἑαυτὸν εἱλούμενος. ὁ ⟨δὲ⟩* X *κύκλος ἐπίπεδον σχῆμά ἐστιν ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, καὶ ταύτῃ κυκλικὸν ὀνομάζεται σχῆμα ἀφ' ἑαυτοῦ ἀρχόμενον καὶ εἰς ἑαυτὸ καταλῆγον, ὃ δὴ ἴδιον τοῦ χρόνου εἰς ἑαυτὸν ἀναστρέφοντος καὶ μηδαμοῦ περατουμένου. ὅθεν καὶ Αἰγύπτιοι καθ' ἱερὸν λόγον* Y *δράκοντα οὐρηβόρον ταῖς πυραμίσιν ἐγγλύφουσιν. ἄβυσσον γὰρ ὑποτίθενται καὶ δράκοντα ἐν αὐτῇ, ἐξ οὗ τοὺς αἰσθητοὺς θεοὺς καὶ αὐτὸ δὲ τὸ πᾶν αἰσθητὸν γενέσθαι βούλονται. ἔτι μὴν ἔθος αὐτοῖς καὶ κύκλον ἐπ' εὐθείας χιούμενον τοῖς ἱεροῖς ἐγγράφειν, διὰ τὸ τὸν ἐνιαυτὸν ἀρχὴν ἑαυτοῦ γίνεσθαι καὶ πέρας. διὰ τοῦτο τὴν κεφαλὴν τοῦ χρόνου οἱ Πυθαγόρειοι* X *οὐχὶ πρώτην ἀλλὰ μίαν ὠνόμασαν.*

deest Rr 5. *Αἰγύπτιοι δὲ λέγονται ἀριθμῆσαι τὸν ἐνιαυτὸν* HS *τεσσάρων μηνῶν, ὅθεν καὶ χιλιετεῖς τινας βιῶναί ποτε παρ' αὐτοῖς ἀναγράφουσιν· Ἡσίοδος δὲ καὶ Ἑκαταῖος,* S *Ἑλλάνικος καὶ Ἀκουσίλαος καὶ Ἔφορος καὶ Νικόλαός φασι τοὺς μακραίωνας καὶ ὑπὲρ χιλίους διαζῆσαι χρόνους, καὶ οὐκ αὐτοὺς μόνους ὡς ἡρωικὰς ἀνημμένους ψυχάς, ἀλλὰ*

v. 16—20 exscripta ex Josepho Ant. Jud. I § 108 Niese 18 Hecataeus fr. 365 FHG I p. 30 19 Hellanicus fr. 89, FHG I p. 57 Acusilaus fr. 15, FHG I p. 102 Ephorus fr. 24, FHG I p. 239 Nicolaus fr. 97, FHG III p. 427

v. 1 *ὅτι ἐνιαυτὸς ὠνομάσθη παρὰ τὸ ἐν ἑαυτῷ κινεῖσθαι, ὥσπερ ὁ δέκα ἀριθμὸς εἰς ἑαυτὸν ἀναστρέφει* *S*, *ὅτι ἐνιαυτὸς ὠνομάσθη* inc. *Y* | *ἐν ἑαυτῇ* *G* | *αὐτὸν* — 2 *εἱλούμενος* desunt *X* 2 *ὁ κύκλος* — 7 *περατουμένου* desunt *Y* | *δὲ* ante *κύκλος* addidi 7 *ὅθεν* — 13 *πέρας* desunt *X* 8 *οὐρηβόλον* *DE*, *οὐρηβόρον* *CFG* 14 *διὰ* — 15 *ὠνόμασαν* desunt *Y* 16 *ὅτι οἱ μὲν αἰγύπτιοι κτλ.* *S* 17 *καὶ* omis. *S* 18 *παρ' αὐτοῖς* omis. *S* | *Ἡσίοδος* — p. 40, 2 *ἄξιοι* om. *H*

S *καὶ ἀνθρώπους τινάς, ὡς Διογένης ἐν τοῖς ὑπὲρ Θούλην*
HS *ἄξιοι. οἱ δὲ Ἀρκάδες τριῶν μηνῶν, Σικυώνιοι δὲ ἕξ,*
Λατῖνοι τριῶν καὶ δέκα τὸν ἐνιαυτὸν ἠρίθμουν, παρὰ
δὲ Ῥωμαίοις τὸ παλαιὸν δέκα μῆνας ἐτετύπωτο τὸν
H *ἐνιαυτὸν ἔχειν, ὕστερον δὲ πρὸς τοῦ βασιλέως Νουμᾶ*
καὶ ἕτεροι δύο προσετέθησαν, τιμῆς μὲν ἕνεκα τῶν
νοητῶν ὁ Ἰανουάριος, τῶν ὑλικῶν δὲ ὁ Φεβρουάριος.
Καῖσαρ δὲ ὕστερον ὁ Γάϊος ἐκ τῆς τῶν Αἰγυπτίων
διδαχῆς διετάξατο τόν τε χρόνον εἶναι τριακοσίων
ἑξήκοντα πέντε τετάρτου ἡμερῶν, καὶ τοὺς μῆνας τοὺς
μὲν ἀπὸ τριάκοντα ἔχειν ἡμερῶν, τοὺς δὲ ἀπὸ τριάκοντα
ἑνός, τὸν δὲ Φεβρουάριον εἰκοσιοκτώ· ἡ γὰρ παλαιότης
τοὺς δυοκαίδεκα μῆνας τοῦ ἡλιακοῦ ἐνιαυτοῦ ἀπὸ τριά-
κοντα ἡμερῶν πάντας ἠρίθμησεν, τὰς δὲ πέντε τέταρτον
ἡμέρας ἐν τρισκαιδεκάτῳ μηνὶ ἐπέβαλλεν. ἐνιαυτὸς δέ
ἐστι χρόνος ἐν ᾧ ἂν ὁ ἥλιος ἀπὸ τροπῆς ἰσημερίας ἧσ-
τινοσοῦν ἀρξάμενος ἀφ' οἵου δήποτε σημείου τῶν ἀπὸ
τοῦ διαμέτρου κύκλου ἐπὶ τὸ αὐτὸ σημεῖον ἀφίκηται.
6. *Ἐτηρήθησαν οἱ σεληνιακοὶ μῆνες, προστεθέν-* Rr III, 4
X *των αὐτοῖς τῶν ἑτέρων δύο ὑπὸ τοῦ Νουμᾶ, ὡς ἐλέ-*
γομεν, ἕως τῆς Γαΐου Καίσαρος ἡγεμονίας· αὐτὸν δέ
φασι τύχῃ καὶ σοφίᾳ καὶ διαφερόντως ἀστρολογίᾳ τοὺς
ἄλλους ἀποκρύψαντα, ἀναβάντα εἰς τὴν Ῥώμην δέκα
καὶ μίαν ἐπεμβαλομένην ἡμέραν τοῖς σεληνιακοῖς

v. 1 Antonius Diogenes innuitur, cuius *τῶν ὑπὲρ Θούλην ἀπίστων λόγους κδ´* commemorat Photius Bibl. cod. 166

v. 2 *ἀρκάδιοι H* | *καὶ σικυώνιοι ἕξ S* 3 *Λατῖνοι — ἠρίθμουν* om. *H* | *ἠρίθμουν· οἱ μέντοι ῥωμαῖοι πάλαι δέκα μηνῶν, ὕστερον δὲ δυοκαίδεκα. S* 4 *ὅτι δέκα μησὶν οἱ ἀρχαῖοι διετυπώσαντο τὸν ἐνιαυτὸν S* 17 *τῶν ἐπὶ τοῦ διὰ μέσων κύκλου* ci. Gu. Kroll 21 *αὐτῶν A* 23 *ἀποκρύψαντα B*, add. *A* marg. 24 *ἐπεμβαλομένους X*, *ἐπεμβαλόμενον Rr*, *ἐπεμβαλομένην* Huschke Röm. Jahr 116[207]

μησὶν ἐπιδοῦναι καὶ ταύτῃ ἡλιακὸν ἀποτελέσαι τὸν X
ἐνιαυτόν.

RrIII,4 7. Ὅτι βίσεξτον λέγεται διὰ τὸ δὶς πρὸ ἓξ Καλεν- XY
δῶν Μαρτίων ἀριθμεῖν παρὰ τετραετίαν Ῥωμαίους, Y
καὶ ἐν τούτῳ τὸν ζωογονικὸν ἀριθμὸν ἐπιτηροῦντας·
Ἀφροδίτης δὲ οὗτος, ἔφορος δὲ Ῥωμαίων Ἀφροδίτη.

5 8. Ὅτι ἡ σελήνη προσεχῶς ἐπιβέβηκε τῷ γεννητῷ
παντὶ καὶ πάντα κυβερνᾶται τὰ τῇδε ἐναργῶς ὑπ'
αὐτῆς, ὡς τὰ λόγιά φασι·

Νύμφαι πηγαῖαι καὶ ἐνύδρια πνεύματα πάντα
καὶ χθόνιοι κόλποι ⟨τε⟩ καὶ ἠέριοι καὶ ὕπαυγοι
μηναῖοι πάσης ἐπιβήτορες ἠδ' ἐπιβῆται
ὕλης οὐρανίας τε καὶ ἀστερίας καὶ ἀβύσσων.

τοῦ γὰρ μεταβολικοῦ σώματος κατὰ τὴν σφετέραν τοῦ XYS
βάρους ἀναλογίαν τῇ γῇ περιχυθέντος ἀναγκαῖον ἦν
τὸ μέλλον πλησιάζειν αὐτῇ πάσης μετέχειν δυνάμεως.
διὸ περιαρμοσάμενος ὁ θεὸς τὴν σεληνιακὴν σφαῖραν
πάσης μετέχουσαν δυνάμεως τῶν δραστηρίων σφαιρῶν
πλησίον τοῦ παντὸς αἰσθητοῦ παρεστήσατο ἔφορον
τῶν στοιχείων. ὅθεν καὶ τετρακέφαλον τὴν Ἑκάτην
ὁ μυστικὸς παραδίδωσι λόγος διὰ τὰ τέσσαρα στοι-
χεῖα· καὶ ἡ μὲν πυρίπνους τοῦ ἵππου κεφαλὴ δῆλον
ὡς εἰς τὴν τοῦ πυρὸς σφαῖραν ἀναφέρεται, ἡ δὲ τοῦ

v. 7—13 Kroll or. Chald. p. 10   20 Kroll l. s. p. 30 ι

v. 2 ἐνιαυτὸν. βίσεξτον δὶς πρὸ ἓξ κτλ. *X*, ὅτι βίσεξτον κτλ. *Y*   4 ἀριθμεῖν (ἀριθμῆσαι *B*) δεῖ παρὰ τετραετίαν. τοῦ γὰρ μεταβολικοῦ (v. 14) *X*   5 καὶ ἐν] κἂν *Y*   7 τῶν γεννητῶν *Y*, τῷ γεννητῷ Kroll or. Chald. l. s.   11 κόλποι καὶ *Y* τε add. *Sch*   13 ἀβύσσου proposuit Kroll   14 ὅτι τοῦ μεταβολικοῦ κτλ. *S*   15 ἦν omis. *S*   17 διόπερ ἁρμοσάμενος *BS*   19 ἔφορον τῶν στοιχείων omis. *Y*

XYS *ταύρου μυκωμένη δαιμόνιόν τινα μυκηθμὸν εἰς τὴν τοῦ
ἀέρος, ἡ δὲ τοῦ ὕδρου πικρὰ καὶ ἄστατος φύσις εἰς
τὴν τοῦ ὕδατος, ἡ δὲ τοῦ κυνὸς κολαστικὴ καὶ τιμωρὸς εἰς τὴν γῆν. ὅθεν καὶ Κέρβερον αὐτὴν οἱονεὶ*
X *κρεωβόρον οἱ ποιηταὶ προσαγορεύουσιν. αὐτῆς οὖν
τῆς σελήνης τῶν τεσσάρων στοιχείων κρατούσης εἰκότως οἱ παλαιοὶ τὴν ἀρχὴν τοῦ ἔτους ἀμφοτέροις ἅμα ἀνέθεντο τοῖς φωσίν.*

9. *Αἱ τοῦ σπόρου ἑορταί, αἱ λεγόμεναι παρὰ Ῥω-* Rr III, 6
μαίοις σημαντῖβαι, τουτέστι σπόριμοι, οὐκ ἔλαχον ὡρισμένην ἡμέραν, ὅτι οὐκ εὐπρεπὴς πᾶς καιρὸς εἰς ἀρχὴν σπόρου· ἢ γὰρ πρώϊμος διὰ τὰς ἐπομβρίας ἢ ὄψιμος διὰ τὰς βραδυτῆτας γίνεται. ἤγοντο δὲ ἐπὶ δύο ἡμέρας, οὐκ ἐφεξῆς ἀλλὰ μέσον γινομένων ἑπτά· καὶ τῇ μὲν πρώτῃ ἱεροποίουν Δήμητρι, οἷον τῇ Γῇ τῇ ὑποδεχομένῃ τοὺς καρπούς· εἶτα μετὰ ἑπτὰ ἡμέρας Κόρῃ, τῇ τῶν
XYS *καρπῶν ἐφόρῳ, ἐπεὶ πᾶν σπέρμα ἑβδομαῖον προκύπτει, καὶ οὐ σπέρμα μόνον, ἀλλὰ καὶ ἐμψύχων τὰ πτηνὰ τὸν ἑβδομαῖον ἐπὶ τριάδι κατὰ τὴν γένεσιν φυλάττει λόγον, ἐξῃρημένων χηνῶν καὶ ὅσων οἱ φυσικοὶ σημαιοῦνται· ἐπὶ μὲν γὰρ τῆς τρίτης ἄρχεται ἡ καρδία κινεῖσθαι, ἐπὶ δὲ τῆς ἑβδόμης τὸ σύμπαν αἱματοῦσθαι, ἐπὶ δὲ τῆς τεσσαρεσκαιδεκάτης διαρθροῦσθαι τὸ σῶμα, ἐπὶ δὲ τῆς εἰκάδος πρώτης ῥηγνυμένου τοῦ κελύφους*

v. 2 *ὕδρον* A, *ἀνδρός* BA_2, *ὕδρου* YS 5 *προσαγορεύουσιν.* reliqua usque ad 17 *ὅτι πᾶν σπέρμα* desunt YS 7 *ἀμφότερον* B 10 *σημαντίναι* A_2B, *σημαντίβαι* A 13 *ὄψιμος ὅνα* A 14 *γινομένη* B 15 *ὑποδεχομένου* A, corr. A_2 17 *ἐπεὶ πᾶν*] *ὅτι πᾶν* YS 18 *καὶ οὐ σπέρμα μόνον ἀλλὰ* desunt Y | *καὶ τῶν ἐμψύχων* Y 19 *κατὰ* omis. S 20 *ἐξῃρημένων — σημειοῦνται* desunt Y, *λόγῳ μὲν ξηραινομένων χηνῶν* (*χυμῶν* B) X, *λόγον ἐξῃρημένων χηνῶν* S | *ὅσον* X, *ὅσων* S 23 *τεσσαρακαιδεκάτης* S 24 *κελύφου* XS

ἀφιέναι φωνήν. μεγίστη γὰρ ἡ δύναμις τῆς ἑπτάδος· XY
ὁ γὰρ κατ' αὐτὴν ἀριθμὸς ἀμιγής ἐστι καὶ ἀμήτωρ, X
μήτε γεννῶν μήτε γεννώμενος, ὡς ἕκαστος τῶν ἐν τῇ
δεκάδι ἀριθμῶν. ὅθεν καὶ οἱ Πυθαγόρειοι Ἀθηνᾷ τὴν XYS
ἑπτάδα ἀνατίθενται· τῇ γὰρ περιόδῳ φασὶ τῆς ἑβδο-
μάδος πάντα ἀθάνατα διασώζεται. καὶ διὰ τοῦτο XY
καλοῦσιν αὐτὴν παρθένον ὀβριμοπάτραν, διότι τῆς
μονάδος τῆς πάντα περιεχούσης καὶ ὑποστησάσης μό-
νης ἐστὶ γέννημα· αἰτία γὰρ πάντων ἡ μονάς. λέγε-
ται δὲ καὶ κρίσις διὰ τὸ τῷ ταύτης ἀριθμῷ πάντα
λαμβάνειν τὴν ἐπὶ θάτερον ἔκβασιν. καὶ τοῦτο δῆλον
ἐκ τῆς καθολικῆς τῶν ἀνθρώπων ἡλικίας· ἐπὶ γὰρ
τοῦ ἑξηκοστοῦ τρίτου ἐνιαυτοῦ — ἑπτὰ δὲ ἐννεάδων
ἐστὶ συνεκτικός — ἡ γένεσις κρίνεται, τοῦ ψυχοκρατη- Y
τικοῦ, ὅς ἐστιν ἕβδομος, καὶ τοῦ σωματοπλαστικοῦ,
ὅς ἐστιν ἔνατος, συνιόντων ὁμοῦ.

RrIII,7 10. *Ὁ Νουμᾶς πανταχοῦ τὸν περιττὸν ἀλλ' οὐ τὸν* XYS
ἄρτιον ἀριθμὸν τιμῶν τριχῇ τὰς ἑορτὰς τοῦ μηνὸς
διετύπωσε· τρίπους γὰρ οἰκεῖος Ἀπόλλωνος, καὶ γὰρ

v. 1 *φωνήν.* cet. des. *S* 2 *ὁ γὰρ — 4 ἀριθμῶν* desunt *Y* 4 *ὅθεν οἱ A*, *ὅτι οἱ — 6 διασώζεται S* 5 *φασὶ*] *φησὶ A*, omis. *S* 7 *διότι XY*, *διὰ τὸ* A_2 9 *αἰτία — μονάς* omis. *Y* 10 *κρίσης A κρίσεις* A_2 *B* | *τῷ* omis. *Y*, *τὸ τὸν N* | *ἀριθμὸν N* 11 *θάτερα N* 14 *συνακτικός ACEG*, *συντακτικός D*, *συναπτικός N* | *κρίνεται — 16 ὁμοῦ* desunt *X*, viginti litterarum spatium vacat *B* 17 ex hac paragrapho 10 exscripsit Georgius Cedrenus ea, quae leguntur in editione Bonnensi p. 294, 13 sqq. et p. 296, 22 sqq. *ὅτι ὁ* (*ὁ* omis. *GM*) *νουμᾶς εἰς τρία τὸν μῆνα διελὼν τριχῇ τὰς ἐν αὐτῷ διετύπωσεν ἑορτάς· τρίπους κτλ. Y*, *ὅτι ὁ νουμᾶς τὸν περιττὸν ἀριθμὸν τιμῶν τριχῇ τὰς τοῦ μηνὸς ἑορτὰς ἐτύπωσε S* 19 *ὅτι ὁ τρίπους οἰκεῖος ἀπόλλωνος, καὶ γὰρ τῆς μονάδος ἐστὶν εἰκών. ὅτι ἀπόλλωνα μυστικῶς τὸν ἕνα ἔλεγον διὰ τὸ ἄποθεν εἶναι τῶν πολλῶν, τουτέστι μόνον* (cf. p. 33, 12) *καὶ ὅτι τριῶν λεγομένων* (p. 44, 2) *S* | *ἐτύπωσε B* | *ἀπόλλωνι B*

XYS τῆς μονάδος ἐστὶν εἰκών. ταύτῃ καὶ τὰς τοῦ μηνὸς ἑορτὰς διέταξε· τριῶν γὰρ εἶναι λεγομένων τῶν τῆς σελήνης δρόμων, ὀξέως μέσου καὶ ἀνειμένου, δι' οὓς καὶ Τριοδῖτιν τὴν Ἑκάτην — οἱονεὶ τὴν Σελήνην — οἱ ποιηταὶ καλοῦσι, τρισὶν ἑορταῖς τὸν μῆνα διέλαβε.

X τρίμορφος γὰρ ἡ Σελήνη, καὶ ὅπως, ἐκ τοῦ χρησμοῦ γνωστέον· λέγει δὲ οὕτως·

ἤδ' ἐγώ εἰμι κόρη πολυφάσματος οὐρανόφοιτος
ταυρῶπις τρικάρηνος ἀπηνὴς χρυσοβέλεμνος
Φοίβη ἀπειροτέχνη φαεσίμβροτος Εἰλήθυια
τριστοίχου φύσεως συνθήματα τρισσὰ φέρουσα.

XS ὀξυτέραν γάρ, ὡς Ἀριστοτέλης φησί, ποιεῖται τὴν πορείαν πρὸς τῷ χειμερινῷ τροπικῷ, βραδυτέραν δὲ τὴν πρὸς τῷ θερινῷ, ὁμαλὴν δὲ τὴν πρὸς τῷ ἰσημερινῷ.

XYH πρώτη τοίνυν τοῦ μηνὸς ἑορτή ἐστιν ἡ λεγομένη παρὰ μὲν Ῥωμαίοις Καλένδαι, παρὰ δὲ Ἕλλησι Νεομηνία.

v. 8 Wolff, Porphyrii de philosophia ex oraculis haurienda librorum reliquiae p. 151[8] 12 cf. Aristoteles ed. Bekker p. 377[a] 24

v. 1 *εἰκών· καὶ τρεῖς δὲ λέγονται εἶναι* (*εἶναι λέγονται FN*) *τῆς σελήνης οἱ δρόμοι· ὀξὺς μέσος καὶ ἀνειμένος, δι' οὓς κτλ. Y* | *ταύτῃ* — 2 *διέταξε* omis. *S* 4 *καὶ* omis. *S* | *τριοδίτην B* 5 *ποταμοὶ C*, lacuna sex litterarum *N*, *ποιηταὶ* rell. | *καλοῦσι*] *φασὶ B* | *καλοῦσι· τρίμορφος γάρ. πρώτη τοίνυν ἑορτὴ αἱ καλάνδαι* (16) *Y* | *διέλαβον S*, cet. des. 6 *τρίμος X* 8 *ἦδε A* 9 *ταυρώπης X* 10 *βοίβη A*, corr. A_2 11 *τριστίχου B* | *τρὶς ἀφαιροῦσα B*, *τρισσὰ φαίρουσα A* 12 *ὅτι ὁ ἀριστοτέλης περὶ τῆς σελήνης φησίν, ὡς ὀξυτέραν μὲν ποιεῖται τὴν πορείαν πρὸς κτλ. S* | *ὡς ὁ ἀριστοτέλης A* 14 *σημερινῷ A* 15 *μόνος A*, *μηνός* A_2 | *ἡ πρώτη τοῦ μηνὸς καλάνδαι παρὰ ῥωμαίοις καλεῖται ἐξ ἑλληνικῆς* — p. 45, 7 *νωνῶν ἑορτὴν H* f. 167[v], *ἰσημερινῷ. ὅτι παρὰ μὲν ἕλλησι νουμηνία ἡ πρώτη τοῦ μηνὸς λέγεται, παρὰ δὲ Ῥωμαίοις καλάνδαι ἐξ ἑλληνικῆς* — p. 46, 1 *ἐσήμαινεν S* | *νουμηνία ἀπὸ τοῦ καλεῖν* (p. 45, 3) *Y*

καὶ νέα ἡ πρώτη τοῦ μηνὸς παρὰ Ἀττικοῖς, ἕνη δὲ ἡ Cedren. τελευταία. Καλάνδας δὲ αὐτὰς οἱ παλαιοὶ προσηγόρευ- XYHS σαν ἐξ ἑλληνικῆς σημασίας, ἀπὸ τοῦ καλεῖν τὸν ἀρχιερέα τὴν βουλὴν ἐν τῇ λεγομένῃ Καλαβρᾷ βασιλικῇ, καὶ σημαίνειν, εἴτε χρὴ κατὰ τὴν πεμπταίαν, εἴτε κατὰ τὴν διχότομον τῆς σελήνης ἐπιτελέσαι τὴν τῶν Νωνῶν ἑορτήν, ἐξ ἧς τὴν μεσομηνίαν ἐπετήρουν. ἐπὶ μὲν XYS γὰρ τῶν μηνῶν τῶν ἔτι καὶ νῦν τὰς σεληνιακὰς σωζόντων ἑορτὰς πεμπταίας τὰς Νώνας ἐσήμαινε, καθ' ἃς ἐπὶ τῆς τρισκαιδεκάτης καὶ μοιρῶν τινων, οὐ τὴν τοῦ φωτός, ἀλλὰ τὴν τοῦ σεληνιακοῦ σώματος εἰκός ἐστι συντρέχειν μεσότητα. ὁ γὰρ τῶν δεκατριῶν XY ἀριθμὸς συνέστηκεν ἐκ τῶν πρώτων δυοῖν τετραγώνων τοῦ τέσσαρα καὶ τοῦ ἐννέα — ἀρτίου τε καὶ περιττοῦ — πλευρὰς ἐχόντων τοῦ μὲν ἀρτίου τὸ ὑλικὸν εἶδος δυάδα, τοῦ δὲ περιττοῦ τὴν δραστήριον ἰδέαν τριάδα. οὗτος οὖν ὁ ἀριθμὸς ἡ μεγίστη καὶ τελειοτάτη τῶν ἑορτῶν γέγονε τοῖς ἀρχαίοις ἐπιτήρησις. ἡ γὰρ πεν- XYS τεκαιδεκάτη παρὰ μοίρας ἓξ κυρίως ἐστὶν ἡ μεσομηνία. αὐτοῦ γὰρ τοῦ φωτός ἐστιν ἡ μεσότης. ὅθεν καὶ Διὸς αὐτὴν ἑορτὴν οἷον Ἡλίου νενομίκασι, δι' οὗ σύμφαμεν φωτίζεσθαι τὴν Σελήνην. ἐπὶ δὲ τῶν ἡλιακῶν μηνῶν

v. 1 καὶ νέα — 2 τελευταία addidi e Georgio Cedreno ed. Bonn. p. 296, 22: ὅτι νέα — ἔννη δὲ ἡ τελευταία. καλάνδη ἡ νεομηνία, ἀπὸ τοῦ καλεῖν eqs. 4 ἐν τῇ — βασιλικῇ omis. *YS* | καλαβρῇ *X* καλάβρῃ *H* | καὶ σημαίνειν omis. *Y* 5 πότε (pro εἴτε) χρῇ (χρῆναι *F*) κατὰ τὴν (omis. *M*) διχοτόμον κτλ. *Y* 6 νόννων similia saepe codices omnes 8 ἔτι καὶ νῦν omis. *YS* 9 ἐπετέλουν *Y*, ἐσήμαινον *S*, ἐσήμαινε *X* 11 φωτὸς ὡς εἴρηται ἀλλὰ *S* | τὴν omis. *A* 12 ὁ γὰρ — 18 ἐπιτήρησις desunt *S* 13 τῶν omis. *Y* | δυεῖν *A* 16 δραστηρίαν *X*, δραστήριον *YB* 17 οὖν] γὰρ *DE* 18 ἑορταστικῶν θυσιῶν *Y*, ἑορτῶν *X* | καὶ γὰρ *G* 19 παρὰ μοίρας ἓξ omis. *Y* 21 δι' οὗ — 22 Σελήνην omis. *S* 22 μηνῶν omis. *XY*

XYS ἑβδομαίας τὰς Νώνας ἐσήμαινον· ὁ γὰρ ἕβδομος ἀριθμὸς
XY Ἡλίου ἐστίν, ὡς ἔμπροσθεν εἴρηται. δῆλον γὰρ τὴν
μὲν ἐλαχίστην τῆς σελήνης περίοδον εἴκοσι καὶ ἑπτὰ
ἡμερῶν εἶναι καὶ ὡρῶν τινων, τοῦ δὲ φωτὸς ἐγγὺς
S τριάκοντα, ὡς καὶ ἡ μὲν τοῦ σεληνιακοῦ σώματος
μέση ἀποκατάστασις ἡ τρισκαιδεκάτη ἐστίν, ἡ δὲ τοῦ
X φωτὸς μεσομηνία ἤτοι ἡ πεντεκαιδεκάτη. πρώτη τοίνυν ἡ νεομηνία, ἐξ ἧς ἔθος Ῥωμαίοις προκαλεῖν τὴν δευ-
XY τέραν ἑορτήν, τουτέστι τὰς Νώνας· εἰσὶ δὲ μέσαι ἀπὸ τῆς νεομηνίας ἄχρι τῶν Νωνῶν ἢ τέσσαρες ἢ ἕξ, ὡς γίγνεσθαι τὰς πάσας σὺν καὶ αὐτῇ τῇ νεομηνίᾳ ἢ πέντε ἢ ἑπτά. εἴ τις οὖν ἀπὸ τῆς πεμπταίας καὶ αὐτῆς ἐννέα προσεπιλογίσεται ἡμέρας — αὕτη δὲ ἡ
Y προσθήκη παρὰ Ῥωμαίοις Νῶναι καλεῖται ἀντὶ τοῦ ἐννέα· τοσαῦται γάρ εἰσιν — εὑρήσει τὴν ἐκ μικρᾶς σεληνιακῆς ἀποκατάστασιν μέσην, τουτέστι τὴν τρισκαιδεκάτην· οὕτως καὶ ἐπὶ τῆς ἑβδομαίας μετ' αὐτῆς
XY ἀριθμῶν τὰς ἐννέα εὑρήσει τὴν τοῦ φωτὸς μεσομηνίαν,
X τουτέστι τὴν πεντεκαιδεκάτην. ἀποφράδας δὲ πάντως τὰς Νώνας εἶχον, νῦν μὲν ὡς ἀπὸ τῆς πεμπταίας νῦν δὲ ὡς ἀπὸ διχοτόμου, μηδὲ ὠνομάσθαι ἢ ταύτην ἢ ἐκείνην τὴν φάσιν ὑπομένοντες, ἀλλὰ τὴν μετὰ ἐννέα ἡμέ-

v. 1 cf. II 12 p. 33, 10

v. 1 ἐσήμαινεν *DS* | ἑβδομαῖος *Y* 2 ἡλίου ἐστίν cet. des. *S* 3 ἀποκατάστασιν *Y* περίοδον *X* 5 τρίακοντα *Y*, τριά ἔτη *X* | ὅτι ἡ μὲν τοῦ σεληνιακοῦ — 7 πεντεκαιδεκάτη *S*, pro ὅτι posui ὡς καὶ | ὡς καὶ — 7 πεντεκαιδεκάτη omis. *X*, ὡς καὶ — 9 Νώνας omis. *Y* 7 ἤτοι delendum censet Gu. Kroll 8 προσκαλεῖν *B* 10 ἓξ καθ' ὃν ἐλέγομεν τρόπον ὡς γίνεσθαι *Y* 11 τῇ omis. *X* | ἢ omis. *X* 13 προεπιλογίσεται *YB*, προσεπιλογίσαιται *A* 14 καλοῦνται *X* | ἀντὶ — 18 ἐννέα omis. *A*, ἀντὶ — 18 μεσομηνίαν desunt *B* 19 ἀποφράδας — p. 47, 2 ἐπιτήρησιν omis. *Y* | πάντας *B*

ρας ἐπιφοιτῶσαν μεσομηνίαν, τουτέστι τὰς Εἰδούς, ἢ X
καὶ ἄλλως τιμῶντες διὰ τὴν τῶν φώτων ἐπιτήρησιν.
ὅτι δὲ ἐξ ἑλληνικῆς σημασίας τίκτεται τὸ τῶν Καλεν- XY
δῶν ὄνομα, ἐξ αὐτῆς ἐστι λαβεῖν τῆς γραφῆς· ἔτι γὰρ
καὶ νῦν τῷ ἑλληνικῷ κάππα τὰς Καλένδας γράφουσιν
οἱ Ῥωμαῖοι. ἰστέον δέ, ὅτι αἱ Καλένδαι Ἥρας ἑορτὴ XS
ἐτύγχανον, τουτέστι Σελήνης· οἱ γὰρ φυσικοί, ὡς
ἔφθημεν εἰπόντες, Δία μὲν τὸν Ἥλιον, Ἥραν δὲ τὴν
Σελήνην ἐνόμιζον εἶναι, καὶ τὴν μὲν νεομηνίαν αὐτῇ,
τὰς δὲ Εἰδούς, τουτέστι τὴν μεσομηνίαν, Διὶ ἤγουν
Ἡλίῳ ἀνέφερον, πληνιλούνιον τὰς Εἰδοὺς καλοῦντες X
οἱονεὶ πληροσέληνον. τὸ δὲ τῶν Εἰδῶν ὄνομα παρὰ XY
μὲν τοῖς πολιτικοῖς ἐκ τοῦ εἴδους τῆς Σελήνης, παρὰ
δὲ τοῖς ἱερεῦσιν ἀπὸ θυσίας τινὸς τρόπου, ἥτις
εἴδουλις ὠνομάζετο, εὑρίσκομεν εἰσενηνεγμένον. πεμ- Y
πταίας δὲ ἢ ἑβδομαίας τὰς Νώνας μετὰ τὰς Καλένδας
ἐκήρυττον, ὅτι ἑκάτερος τῶν ἀριθμῶν οἰκειότατος τοῖς
φωσίν. ὅτι ὁ Λαβεών φησι τὸν Ἰανουάριον καὶ Φε- S
βρουάριον, Ἀπρίλλιόν τε καὶ Ἰούνιον, Σεξτίλιον Σε-

v. 18 Labeonis fragmentis addendum, cf. W. Kahl Cornelius Labeo Philol. suppl. V, 730 sqq.

v. 2 *καὶ* omis. *B* | *φώτων*] *φωων A* 3 *ὡς δὲ ἀπὸ τοῦ καλῶ ἑλληνικοῦ καὶ τὸ* (*τοῦ CM*) *καλένδαι διὰ τοῦ ἑλληνικοῦ κάππα γράφουσι ῥωμαῖοι, τὴν δὲ μεσομηνίαν εἰδοὺς ἐκάλουν ἀπὸ τοῦ εἴδους τῆς σελήνης ἢ ἀπὸ θυσίας τινός, ἥτις εἴδουλις ὠνομάζετο· πεμπταίας κτλ.* (15) *Y* 6 *ὅτι αἱ καλάνδαι* — 11 *ἀνέφερον S* 7 *ἐτύγχανε S* | *τῆς σελήνης S*, *σελλήνης A* | *ὡς* — 8 *εἰπόντες* desunt *S* 8 *Δία*] *διὰ B* 9 *ταύτῃ A*, *αὔτη B*, *αὐτῇ S* 11 *εἰδοῦς X*, similia saepe codd. 12 *προσέληνον B* 14 *τινὸς* omis. *X* | *ἥτις* — 15 *ὠνομάζετο* omis. *X* 15 *πεμπταίας* — p. 49, 20 *λοιποὶ πάντες* omis. *X* 18 *φωσίν. ἀπὸ δὲ τῶν νώνων* (p. 48, 18) *Y*, *ὅτι ὁ λαβεὼν* — p. 48, 16 *εὐφημισμὸν S*

S *πτέμβριον ἀπὸ ἐννέα καὶ εἴκοσιν ἡμερῶν τὸ πάλαι λαχεῖν,*
Μάρτιον δὲ καὶ Μάϊον, Κυντίλλιόν τε καὶ Ὀκτώβριον
ἀπὸ μιᾶς καὶ τριάκοντα, ὅθεν τοὺς ἀπὸ ἐννέα καὶ
εἴκοσι ἡμερῶν ἕλκοντας πεμπταίας ἔχειν τὰς Νώνας ὡς
σεληνιακούς, τοὺς δὲ ἀπὸ μιᾶς καὶ τριάκοντα ἑβδομαίας
YS *ὡς ἡλιακούς· τὸν δὲ Φεβρουάριον ἐπίτηδες τοὺς* RrIII,44
Θούσκους ἐλαττῶσαι, ἐπειδὴ ταῖς τῶν καταχθονίων ἑορ-
ταῖς φαίνεται πρὸς τοῦ ἱερέως Νουμᾶ παραχωρηθεὶς καὶ
S *οὐ θεμιτὸν ἦν, ἴσα τοῖς οὐρανίοις αὐτὸν τιμᾶσθαι, μει-*
ωθῆναι δὲ μᾶλλον τὸν τοῖσδε τὸ πᾶν ἐλαττοῦσι χθονίοις
ἀφωρισμένον, ὅθεν καὶ πάντων τῶν μηνῶν τὸν περιτ-
τὸν ἀριθμὸν ἑλκόντων μόνος ὁ Φεβρουάριος τὸν ἄνι-
σον φαίνεται λαχών. ὁ δὲ ἀριθμὸς οὗτος τῆς ὕλης, 45
καὶ δι' αὐτὴν τὸν δυαδικὸν ἀριθμὸν ἐπὶ τῶν ἑορτῶν
YS *οἱ Ῥωμαῖοι ἀποφράζονται, σεκοῦνδον αὐτὸν οἱονεὶ εὐτυχῆ*
Y *πατρίως καλοῦσι κατ' εὐφημισμόν, ὡς Εὐμενίδας καὶ*
Ἀδράστειαν καὶ Πάρκας κατ' αὐτοὺς τὰς μηδενὸς φει-
δομένας Μοίρας. ἀπὸ δὲ τῶν Νωνῶν καὶ αὐτῶν ἕως τῶν
Εἰδῶν καὶ αὐτῶν μόνας ἐννέα μέσας παρετηρήσαντο,
ὅτι οἰκειότατος καὶ προσφυὴς ὁ ἐννέα ἀριθμὸς τῇ σε-
λήνῃ· οὗτος γὰρ ἑαυτὸν γεννᾷ κατὰ Ξενοκράτην. ἀόρι-
στος γὰρ ἡ ἄχρις ἐννεάδος πρόβασις καὶ πλήθει σύν-
οικος. τὴν μὲν οὖν νεομηνίαν ἔλεγον Καλένδας, τὴν
δὲ δευτέραν τοῦ μηνὸς πρὸ τεσσάρων ἢ πρὸ ἕξ, ὡς

v. 21 Xenocrates cf. Heinze p. 151 fr. 58

v. 6 *ὅτι φεβρουάριον* (*τὸν φεβρουάριον* *G*) *ἐπίτηδές φασι τοὺς* — 18 *μοίρας* *Y* in fine libri secundi exhibet 8 *ἑορταῖς φαίνεται πρὸς τοὔνομα παραχωρηθεὶς* (*χωρηθεὶς* *DE*)*Y* | *φαίνεται* omis. *S* 9 *τιμᾶσθαι. ὅτι παρ' ἰταλοῖς ὁ δυϊκὸς ἀριθμὸς ἀποφράζεται, σεκοῦνδον δὲ αὐτὸν* (15) *Y* 16 *καλοῦντες* *S*, *πατρίως καλοῦσι* *Y* | *εὐφημισμόν.* cet. des. *S* | *κατὰ τὸν* *DE* | *εὐμενίδες* *E* 20 *ὁ* omis. *D* 23 *οὖν* omis. *M*

εἴρηται, Νωνῶν — ἔστω δὲ τὸ παράδειγμα ὥσπερ Y
ὅταν πεμπταῖαι ὦσιν αἱ Νῶναι — τὴν δὲ τρίτην πρὸ
τριῶν Νωνῶν, τὴν δὲ τετάρτην πρὸ μιᾶς Νωνῶν διὰ
τὸ ἀποφράζεσθαι τὴν δυάδα, τὴν πέμπτην Νώνας, τὴν
ἕκτην πρὸ ὀκτὼ Εἰδῶν, τὴν ἑβδόμην πρὸ ἑπτὰ Εἰδῶν,
τὴν ὀγδόην πρὸ ἓξ Εἰδῶν, τὴν ἐννάτην πρὸ πέντε
Εἰδῶν, τὴν δεκάτην πρὸ τεσσάρων Εἰδῶν, τὴν ια′
πρὸ τριῶν Εἰδῶν, τὴν ιβ′ πρὸ μιᾶς Εἰδῶν, τὴν ιγ′
Εἰδούς· τὴν ιδ′, εἰ μὲν πεμπταῖαι ἦσαν αἱ Νῶναι
καὶ ὁ μὴν ἡμερῶν λ′, πρὸ ιη′ Καλενδῶν τοῦ ἐπι-
όντος μηνός, εἰ δὲ πεμπταῖαι μὲν αἱ Νῶναι καὶ ὁ
μὴν ἡμερῶν λα′, πρὸ ιθ′ Καλενδῶν ὁμοίως· εἰ δὲ αἱ
Νῶναι μὲν ἑβδομαῖαι καὶ ὁ μὴν λα′ ἡμερῶν, τὴν ιε′
πρὸ ιζ′ Καλενδῶν ὁμοίως. ἐπὶ δὲ τοῦ Φεβρουαρίου
μόνου τὴν ιδ′ πρὸ ις′ Καλενδῶν Μαρτίων καὶ καθεξῆς
καθ' ὑπόβασιν τοῦ ἀριθμοῦ τῶν Καλενδῶν. ἡνίκα δὲ
ἂν βίσεξτον ᾖ, τὴν κε′ καὶ τὴν κς′ πρὸ ἓξ Καλεν-
δῶν Μαρτίων ἔλεγον, ὃ καὶ εἴρηται. ἔχουσι δὲ ἑβδο-
μαίας μὲν τὰς Νώνας Μάρτιος Μάϊος Ἰούλιος Ὀκτώ-
βριος, πεμπταίας δὲ οἱ λοιποὶ πάντες. ἤρεσε δὲ ὅμως X
τῷ Καίσαρι καὶ μετὰ τὴν ἡλιακὴν τῶν μηνῶν διατύ-
πωσιν τὰς σεληνιακὰς ἑορτὰς τοῖς μησὶ καταλεῖψαι.
καὶ ταῦτα μὲν περὶ τῆς δοκούσης ἀνωμαλίας τῶν
πεμπταίας καὶ ἑβδομαίας τὰς Νώνας ἐχόντων μηνῶν.

deest Rr 11. Ἑορτάζετο δὲ παρὰ τοῖς παλαιοῖς ἡ μὲν νεο- P

v. 1 ἔστω — 3 τριῶν Νωνῶν desunt *E*, ἔστω — 2 Νῶναι desunt *D* 3 δὲ omis. *MG*, rasura duarum litterarum *G* 17 βίσεκτον *M* | κς′ τῇ πρὸ *Y*, τῇ delevi 18 ἔλεγον] ἔλεται *D* 19 μὲν τὰς] μετὰ τὰς *F* 20 πάντες. reliqua huius paragraphi desunt *Y* 21 διατύποσϊ *A* Tractatus decimae paragraphi similes exhibent codices plerique, quos in praefatione enumeravi 25 ἑορτάζετο — p. 50, 6 σάλπιγγι P f. 82^{v}, Boissonade Anecd. gr. I p. 416 sq. ἑωρτάζετο *P*

P μηνία εἰς τιμὴν Ἥρας, ἥτις ἐστὶ Σελήνη, αἱ δὲ Νῶναι
εἰς ὄνομα ⟨Διός⟩, αἱ δὲ Εἰδοὶ πάλιν εἰς ὄνομα ⟨Διός⟩·
ἐκάλουν δὲ νεομηνίαν τὴν πρώτην τῆς σελήνης καὶ
ἑόρταζον αὐτῇ καὶ Ῥωμαῖοι καὶ Ἕλληνες, ἀλλ' οὐδὲ
παρὰ Ἑβραίοις κατεφρονεῖτο, ὥς φησιν ὁ μελῳδός·
X 'σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι.' χαλεπὸν δὲ οὐδὲν Rr III, 8
ἐκ τῶν τοῖς ἀρχαίοις εἰρημένων διὰ βραχέων εἰπεῖν
ὅ,τί ποτε ἄρα ἐστὶ νεομηνία καὶ τίνος χάριν παρὰ πᾶσι
XS φαίνεται ἡ τῆς νεομηνίας δύναμις τιμωμένη, εἰ τἀ-
ληθὲς εἰπεῖν, τῇ φύσει τῶν πραγμάτων ἐνθεωρουμένη.
XYHPS καὶ τούτου μάρτυς Ἀντίγονος, φάσκων τοὺς μύρμηκας
ἐν ταῖς νεομηνίαις ἀναπαύεσθαι· ἀδύνατον οὖν ἰδεῖν
S μύρμηκα ἐν ταῖς νεομηνίαις ἐργαζόμενον, ὡς καὶ
Ἀρχελάῳ εἴρηται. καὶ τίμιον τὸ τῆς νεομηνίας ὡς
ἐλέγομεν ὄνομα ὡς αἴτιον ἀνανεώσεως τοῦ παντὸς
αἰσθητοῦ· τῶν γὰρ ἐν αἰσθήσει πάντων ἐν αὐξήσει
καὶ μειώσει τυγχανόντων τοιαύτη τις ὑπὸ τοῦ δη-
μιουργοῦ διατετύπωται ἡ τῆς σελήνης φύσις συνέχουσα

v. 5 Ps. 80, 3 11 Antig. mirab. c. 140 14 Archelai fragmentis addendum

v. 2 *Διὸς* bis omis. *P*, supplevi ego 4 *ἑώρταζον P* 6 *σάλπιγγι· αἰτίαν δὲ τῆς πρὸς αὐτὴν τιμῆς ἐσχήκασιν ἅπαντες ἐξ αὐτῶν τῶν φυσικῶν παρατηρήσεων· φασὶ γὰρ τοὺς μύρμηκας σχολάζειν ἐν τῇ νεομηνίᾳ* (11) *καὶ τὰς ἴβεις μὴ ὁρᾶν, ἀλλ' ἀσίτους κτλ.* (p. 51, 11) *P* 8 *νουμηνία A* semper 9 *εἴη τἀληθὲς A*, *εἴτ' ἀληθὲς B* 10 *θεωρουμένη X* 11 *ὅτι τοὺς μύρμηκάς φασι ἐν ταῖς τῆς σελήνης νουμηνίαις μὴ ἐργάζεσθαι ἀλλ' ἡσυχάζειν καὶ τὴν ἴβιν* (p. 51, 5) *Y*, *ἐν ταῖς νουμηνίαις δὲ ὥς φασιν οἱ μύρμηκες ἀναπαύονται· ἀδύνατον γάρ ἐστιν ἐν ταῖς νουμηνίαις μύρμηκα ἐργαζόμενον ἰδεῖν καὶ ὅτι ἡ ἴβις* (p. 51, 7) *H* f. 168r, *ὅτι ἡ τῆς νεομηνίας δύναμις καὶ παρὰ πᾶσι τιμᾶται καὶ αὐτῇ τῇ τῶν πραγμάτων φύσει ἐνθεωρεῖται· ἀδύνατον γοῦν ἐστιν ἐν ταῖς νουμηνίαις μύρμηκα ἐργαζόμενον ἰδεῖν ὡς καὶ ἀρχελάω εἴρηται S* 12 *οὖν* corr. ex *ἐᾶν B* 13 *ὡς καὶ* — p. 51, 17 *Δέρκυλλος* omis. *X* 14 *ὅτι τίμιον S*, *καὶ τίμιον* scripsi

τὴν ὅλην αἴσθησιν· καὶ τοῦτο δῆλον ἐκ τῆς τῶν ὑδά- S
των καὶ τῶν ἐν αὐτοῖς ζώων φύσεως καὶ ἐκ τῶν ἐν ἡμῖν
χυμῶν· αὐξομένης γὰρ τῆς σελήνης αὔξεται τὰ ὑπ'
αὐτήν, εἶτα συνιούσης ἀπολήγει καὶ εἰς ἑαυτὰ συστέλ-
λεται. καὶ τὴν ἶβιν δὲ καὶ τὸν κέρκωπα Αἰγυπτίοις YS
ἔνθεν ἐδόκει τιμᾶν· ἀμφότερα γὰρ τὰ ζῶα σελήνῃ
συμπαθῆ εἶναι προσείκασται· ἡ μὲν ἶβις αὐτῷ τε τῷ YH
σχήματι ἐμφερής, ἄκρα μὲν ὀμιχλαίνουσα, λευκαίνουσα
δὲ τὰ μέσα καθάπερ ἡ αἰθερία μήνη. ὅτε γὰρ οὐρα- YHS
νὸς ἀσέληνος οὐδὲ ἴβιδες ὁρῶσι, μύουσι δὲ τοῖς YHPS
ὀφθαλμοῖς τουτονὶ τὸν χρόνον καὶ ἄσιτοι ἐγκαρτεροῦσι
τὸ συγγενὲς στοιχεῖον ἀναμένουσαι. ὁ δὲ κέρκωψ
δηλοτέρας ἔχει τὰς ἐνεργείας· ὅτε μὲν γὰρ αὔξει τὸ
φῶς τῆς σελήνης, ὁ τῶν ὀφθαλμῶν κύκλος τούτῳ
εὐρύνεται, ὅτε δὲ ἐκεῖνο μειοῦται, τὸ τῶν ὀμμάτων
περιφερὲς συστέλλεται. φασὶ δέ τινες, ὧν ἐστι καὶ XHPS
Δέρκυλλος, ὅτι γεννᾶται ἐν τῷ Ὑδάσπῃ ποταμῷ λίθος
λυχνὶς καλούμενος· οὗτος σελήνης αὐξομένης ἦχον

v. 17 Dercyllus fr. 11 FHG IV 388

v. 5 ὅτι τὴν ἴβιν καὶ τὸν κέρκωπα αἰγύπτιοι τιμῶσιν· ἀμφότερα κτλ. *S* | τὴν κέρκωπα *E* 6 τιμᾶν ἐδόκει *F* 7 καὶ ὅτι ἡ ἴβις αὐτῶ τῶ σχήματι ἐμφερής ἐστι τῇ σελήνῃ, τὰ μὲν ἄκρα *H* | αὐτῷ τε τῷ — 9 μήνη omis. *S* 9 ὅτε οὖν ὁ *H*, ὅτε ὁ *S* 10 καὶ τὰς ἴβεις μὴ ὁρᾶν ἀλλ' ἀσίτους διακαρτερεῖν τὸ συγγενὲς στοιχεῖον ἀναμενούσας, ἐπειδὴ ἐοίκασι τῶ σχήματι τῆς σελήνης τὰ ἄκρα ὀμιχλαινούσης, λευκαινούσης δὲ τὰ μέσα. καὶ τὸν κέρκωπα δὲ δειλοτέρας ἔχειν *P* | οὐχ ὁρᾶ, μύει δὲ *S* 11 τοῦτον *HS* | ἄσιτος ἐγκαρτερεῖ *S* 12 ἀναμένουσα *S* 13 μὲν omis. *YHS* 14 ἡ σελήνη *H*, σελήνη *YS* | τοῦ ὀφθαλμοῦ τούτων κύκλος *H* | αὐτοῦ κύκλος εὐρύτερος γίνεται *P* 15 ἐκεῖνο omis. *YHS*, lacuna in *E* 16 μειοῦται συστέλλεται cet. des. *Y*, συστέλλεται καὶ οὗτος *P* 17 δέρκυλλος δέ φησιν (φασιν *S*) ὅτι *XS* | καὶ ἐν τῶ ὑδάσπῃ ποταμῶ ὥς φασι γεννᾶται λίθος λυχνίτης *H* | ὅτι] ὡς *P* | γεννᾶται λίθος ἐν *P* 18 λύχνης *A*, λυχνίτης *S*, λυχνὶς καλούμενος omis. *P* | οὗτος *XH* ὃς *PS* | αὐξανομένης τῆς σελήνης *P*

XHPS μελῳδίας ἀποδίδωσι. ἀλλὰ μὴν καὶ ἐν Ἀράρει ποταμῷ τῆς Κελτικῆς, μᾶλλον δὲ ⟨Αἰσάρῳ⟩ Συβάρεως, γεννᾶται ἰχθύς, κλοπίαν δὲ αὐτὸν οἱ ἐπιχώριοι καλοῦσι. τοῦτον λέγουσιν αὐξανομένης μὲν τῆς σελήνης λευκαίνεσθαι, μελαίνεσθαι δὲ αὖθις μειουμένης τοῦ φωτὸς HP αὐτῆς. ἱστορεῖ δὲ τοῦτο Καλλισθένης ὁ Συβαρίτης. ἀλλὰ καὶ Ἀρχέλαός φησι τὰ τῶν μυῶν ἥπατα λοβοὺς ἔχειν πεντεκαίδεκα, οἵτινες οὐκ ἀθρόοι πάντες ἐγγίνονται, ἀλλ' ἕκαστος καθ' ἡμέραν σεληνιακὴν εἷς ἐπιγινόμενος ἐξ οὐκ ὄντος προστίθεται ἀπὸ τῆς νεομηνίας μέχρι τῆς πανσελήνου, πάλιν δὲ ἀπὸ τῆς πανσελήνου εἷς ἐφ' ἑνὶ καθ' ἡμέραν φθίνων λοβὸς πάντες μέχρι τῆς νεομηνίας ἐκλείπουσι. καὶ αὖθις ἐξ ἐκείνης ἄρ-

v. 7 Archelaus: fr. 10 Westermann Paradoxogr. gr. p. 160 Callistheni Sybaritae *ἐν ιγ' Γαλατικῶν* haec eadem tribuit Ps. Plut. de fluviis c. 6, 3 7 Lyd. de ost. p. 16, 1 Wachsm.: *ἡ δὲ ἡλιότροπος καλουμένη βοτάνη πρὸς τὴν ἡλιακὴν μεταστρέφεται φοράν, ἀνίσχοντι αὐτῷ καὶ δυομένῳ συμμετατιθεῖσα τὸ σχῆμα. περὶ γὰρ τῶν ἐναλίων τούτων, ὀστρέων λέγω καὶ χημῶν καὶ κτενῶν καὶ τῶν ἄλλων, οὐδεὶς ἀμφισβητήσει, ὅτι αὔξεται καὶ συμφθίνει ταῖς σεληνιακαῖς φάσεσιν, ὡς καὶ τὰ τῶν μυῶν ἥπατα καὶ πλεῖστα ἕτερα, περὶ ὧν ἐν τοῖς περὶ Μηνῶν γραφεῖσιν ἡμῖν διελάβομεν.*

v. 1 *ἀποτελεῖ P* | *αἰσάρω ποταμῶ P* | *καλλισθένης δὲ ὁ συβαρίτης ἱστορεῖ ὅτι ἐν τῶ ἀράρη ποταμῶ τῆς κελτικῆς τίκτεται ἰχθύς κτλ. S*, *καὶ ἐν ἀράρει δὲ τῶ ποταμῶ τῆς κελτικῆς τίκτεται ἰχθύς, κλωπίαν* (*κλοπίαν X*) *αὐτὸν οἱ ἐπιχώριοι* (*ἐγχωρίως H*) *καλοῦσιν, ὃς αὐξομένης τῆς σελήνης XHS* 2 ⟨*Αἰσάρῳ*⟩ addidi 3 *καλούμενος κλοπίας P* 5 *λευκὸς γίνεται, μειουμένης* (*δὲ HS*) *μελαίνεται XHS*, reliqua huius paragraphi desunt *XS*, *φασὶ δὲ καὶ τὰ τῶν μυῶν ἥπατα λοβοὺς ἔχειν πεντεκαίδεκα, ὧν ἕκαστον καθ' ἡμέραν αὔξεσθαι σὺν τῇ τῆς σελήνης αὐξήσει, πάλιν δὲ ἀπὸ πανσελήνου καθ' ἡμέραν ἕνα λοβὸν φθίνειν μέχρι τῆς νεομηνίας, τέλος δὲ πάντας ἀφανίζεσθαι, καὶ οὕτω πάλιν ἀπὸ τῆς νεομηνίας αὔξεσθαι. τὰ αὐτὰ δέ φασιν καὶ τὰ τῶν θαλασσίων ἐχίνων ὠὰ πάσχειν* (p. 53, 5) *H*; similes huius paragraphi tractatus exhibent codices complures, de quibus videas praefationem

χονται γίνεσθαι πρὸς τὴν τῆς σελήνης περίοδον καὶ HP
τὸν ἀριθμὸν τῆς ἐκείνης ἡμερῶν καὶ αὐτοὶ γινόμενοι
καὶ ἀπογινόμενοι καὶ πληθυνόμενοι καὶ μειούμενοι. ὁ
δ' αὐτὸς ἱστορικὸς λέγει καὶ τὰ τῶν θαλασσίων ἐχίνων
ᾠὰ τὸ αὐτὸ πάσχειν.

RrIII,8 12. *Ἀναξιμένης τοίνυν κύκλον τὴν σελήνην εἶναι* X
βούλεται ἐννεακαιδεκαπλασίονα τῆς γῆς, πλήρη πυρὸς
ὥσπερ ⟨τὸν⟩ τοῦ ἡλίου, Ξενοφάνης δὲ νέφος εἶναι πε-
πυρωμένον, οἱ Στωικοὶ μικτὴν πυρὸς καὶ ἀέρος, Πλάτων
ἐκ πλείονος τοῦ πυρώδους, Ἀναξαγόρας καὶ Δημόκρι-
τος στερέωμα διάπυρον, ἔχον ἐν ἑαυτῷ πεδία καὶ ὄρη
καὶ φάραγγας, Ἡράκλειτος γῆν ὁμίχλῃ περιειλημμένην,
Πυθαγόρας γε μὴν πυροειδὲς σῶμα. περὶ δὲ τοῦ κατ'
αὐτὴν φωτὸς ἐροῦμεν, ὡς Ἀναξίμανδρος μὲν ἴδιον
αὐτὴν φῶς ἔχειν βούλεται, ἀραιότερον δέ πως, ὁ δὲ
Ἀντιφῶν ἰδίῳ μὲν φέγγει λάμπειν τὴν σελήνην φησί, XS
τὸ δὲ ἀποκρυπτόμενον περὶ αὐτὴν ὑπὸ τῆς προσβολῆς
τοῦ ἡλίου ἀμαυροῦσθαι, πεφυκότος τοῦ ἰσχυροτέρου
φωτὸς τὸ ἀσθενέστερον ἀμαυροῦν, ὃ δὴ συμβαίνει καὶ

v. 6 Anaximenes] immo Anaximander Diels Dox. Gr. 355[a] adn. 8 Xenophanes ibid. p. 356[a] adn. 4 9 Stoici ibid. adn. 5 | Plato ibid. adn. 6 10 Anaxagoras, Democritus ibid. adn. 9 12 Heraclitus ibid. adn. 13 13 Pythagoras ibid. p. 357[a] adn. 14 14 Anaximander ibid. p. 358[a] adn. 1 16 Antipho ibid. adn. 4

§ 12 in cod. Par. suppl. gr. 607 *A* (= *R*), f. 67[v] ita legitur: *φασὶ τὴν σελήνην μείζονα εἶναι τῆς γῆς ἐννεακαιδεκαπλασίως, ἀφίσταται δὲ ἀπ' αὐτῆς σταδίοις μυριᾶσιν ἑβδομηκονταοκτώ. τὸν δὲ ἥλιον ἀφίστασθαι ἀπὸ τῆς γῆς τετρακοσίαις καὶ ὀκτακισμυρίαις· τὸ δὲ φαινόμενον αὐτῆς μέλαν, ὃ τινες καλοῦσι πρόσωπον, οὐδὲν ἄλλο ἐστὶν ἢ μεμιγμένος ἀήρ, ὃς φύσει μέλας ἐστίν, ὃς ἄχρις αὐτῆς τείνεται.* 8 *ὡς ἐπὶ B*, *ὥσπερ A*, ⟨*τὸν*⟩ add. Bekker 16 *ὅτι ὁ ἀντιφῶν* — p. 54, 1 *ἄστρα S* | *φησί* om. *X* 19 *φωτὸς X*, *πυρὸς S* | *ἀμαυροῦντος X*

X περὶ τὰ ἄλλα ἄστρα. Θαλῆς δὲ καὶ οἱ ἀπ' αὐτοῦ ὑπὸ
τοῦ ἡλίου φωτίζεσθαι τὴν σελήνην ἐνέκριναν. ὅ γε
μὴν Ἡράκλειτος τὸ αὐτὸ πεπονθέναι τὸν ἥλιον καὶ
τὴν σελήνην φησί· σκαφοειδεῖς γὰρ ὄντας τοῖς σχήμα-
σιν ἐκ τῆς ὑγρᾶς ἀναθυμιάσεως φωτίζεσθαι πρὸς τὴν
φαντασίαν, λαμπρότερον δὲ τὸν ἥλιον διὰ τὸ ἐν κα-
XY θαρῷ ἀέρι φαίνεσθαι. ἀφεστάναι δὲ λόγος ἀπὸ τῆς
γῆς κατὰ τὸν Ἐρατοσθένην τὴν μὲν σελήνην σταδίων
μυριάδας ἑβδομήκοντα ὀκτώ, τὸν δὲ ἥλιον τετρακοσίας
XS καὶ ὀκτάκις μυρίας. ἡ σελήνη γὰρ τὴν ἑβδόμην
κατέχουσα ζώνην προσγειοτέρα τῶν ἄλλων ἐστὶν ἀστέ-
ρων· ὅθεν οὐδὲ πίλημα ἄκρατον αἰθέρος αὐτὴν εἶναί
φασι κατὰ τοὺς ἄλλους ἀστέρας, κρᾶμα δὲ αἰθερώδους
καὶ ἀερώδους οὐσίας· τὸ γὰρ φαινόμενον αὐτῆς μέλαν,
ὃ καλοῦσι πρόσωπόν τινες, οὐδὲν ἄλλο εἶναι ἢ τὸν
ἀναμεμιγμένον ἀέρα, ὃς φύσει μέλας ὢν ἄχρις αὐτῆς
X τείνεται. ἐκεῖνο δὲ μὴ παριδεῖν ἄξιον. ἡ νεομηνία
κεφαλὴ μηνὸς πρὸς τῶν ἀρχαίων προσαγορεύεται. δέκα
δὲ εἰσηγοῦνται σελήνης σχήματα, ἀφ' ὧν ὁ τριακον-
θήμερος ἀναπληροῦται κύκλος· τὰ δέ ἐστι σύνοδος
ἀνατολὴ μηνοειδὴς διχότομος ἀμφίκυρτος πλήρης αὖθις

v. 1 Thales Diels Doxogr. gr. p. 358ᵃ adn. 5 3 Heraclitus ibid. p. 359ᵃ adn. 6 8 Eratosthenes ibid. 362ᵃ adn. 3

v. 2 ἔκριναν ci. Bekker 3 πεπονθέναι] περὶ τὸν θεικὸν *X* 4 τοὺς ἀστέρας δεχομένους τὰς ἀπὸ τῆς ὑγρᾶς ἀναθυμιάσεως αὐγὰς Doxogr. gr. l. s. 7 φαίνεσθαι] φέρεσθαι Doxogr. gr. 8 ὅτι ὁ ἐρατοσθένης τὴν μὲν σελήνην — 10 μύρια ἀφεστάναι λέγει τῆς γῆς. cet. des. *Y* 9 ὀγδοήκοντα ὀκτὼ *B* | τετρακοσίαις *XR* 10 μύρια *AEF*, μυρίαις *BCGR*, μυρίας *D* 10 ὅτι ἡ σελήνη προσγειότερα — 17 τείνεται *S* 13 κατὰ — ἀστέρας omis. *X* | κράμμα *X* 16 αὐτῆς] οὐρανοῦ *S* 21 διχότογμος *A*

διχότομος αὖθις ἀμφίκυρτος αὖθις μηνοειδὴς αὖθις X
⟨σύνοδος⟩. ἕτεροι δὲ ἕνδεκα σχήματα εἶναι βούλονται·
μετὰ γὰρ τὴν σύνοδον ἀριθμοῦσι καὶ τὴν γένναν,
ὅταν μίαν μοῖραν ἀποστῇ ἡ σελήνη τοῦ ἡλίου.

Rr III, 9 13. Τὰς τοίνυν Καλένδας ὡς ἐλέγομεν οἷα νεομη-
νίαν ἐτίμησαν Ῥωμαῖοι, μετὰ δὲ ταύτας καθεξῆς τὰς
Νώνας, καὶ κατὰ τρίτην τάξιν τὰς Εἰδούς. τρίμορφος
μὲν γὰρ ἡ τῆς Ἑκάτης, ἤτοι τῆς Σελήνης, δύναμις· ὃ
γὰρ Ἀπόλλων ἐν ἡλίῳ, τοῦτο Ἑκάτη ἐν σελήνῃ.

14. Ὅτι ὁ τριάκοντα ἀριθμὸς φυσικώτατός ἐστιν, XYS
ὃ γὰρ ἐν μονάσι τριάς, τοῦτο ἐν δεκάσι τριακοντάς·
ἐπεὶ καὶ ὁ τοῦ μηνὸς κύκλος συνέστηκεν ἐκ τεσσάρων Y
τῶν ἀπὸ μονάδος ἑξῆς τετραγώνων, α΄ δ΄ θ΄ ις΄, ὅθεν
οὐκ ἀπὸ σκοποῦ Ἡράκλειτος γενεὰν τὸν μῆνα καλεῖ.

15. Μετὰ δὲ τὰς Καλένδας εὑρίσκομεν πολλαχῶς X
τὸν χρόνον διαιρεῖσθαι εἰς αἰῶνα εἰς χρόνον εἰς και-
ρὸν εἰς ἐνιαυτόν. αἰὼν τοίνυν ἐστὶν ἄπειρός τις τῶν XH
οὐρανίων σωμάτων περιπόλησις ἢ αὐτοῦ τοῦ παντὸς
οὐρανοῦ παντελὴς ἀνακύκλησις, χρόνος δὲ ἡ ἐξ αἰῶνος
ἀόριστος ἔκτασις. ταύτῃ καὶ Κρόνος παῖς Οὐρανοῦ X
λέγεται· ὁ γὰρ χρόνος ἐκ τῶν τοῦ οὐρανοῦ κινήσεων
πρόεισιν. ὥστε καιρός ἐστι χρόνου παράδειγμα, καὶ
οὐκ αὐτὸς ὁ χρόνος.

deest Rr 16. Ὅτι διαφέρει μεγίστη ἀποκατάστασις τελείας S
περιόδου τῷ τὴν μὲν ἀποκατάστασιν ἀπὸ τοῦ αὐτοῦ στη-

v. 2 lacunam litterarum sex (*A*) vel decem (*B*) *X*, inserta voce πλήρης explevit *Sch*, ⟨σύνοδος⟩ Gu. Kroll 5 νουμηνίαν *X* 10 ὅτι (omis. *X*) ὁ τριάκοντα — 11 τριακοντάς *XS* 14 post καλεῖ *CEFG* in margine addunt: καὶ οἱ μὲν γραμμικοὶ α̅ β̅ γ̅ δ̅ τὸν δέκα συνιστῶσιν, οἱ δὲ ἀπὸ τούτων κύβοι α̅ η̅ κ̅ζ̅ ξ̅δ̅ τὸν ρ̅ ποιοῦσιν 17 αἰὼν δέ ἐστιν — 20 ἔκτασις *H* f. 161ᵛ 18 περιπόλησις] περίληψις *H* 19 ἢ omis. *H* 20 ἔκστασις *A*

S μείον ἐπὶ τὸ αὐτὸ σημεῖον γίνεσθαι κατὰ μῆκος καὶ πλάτος καὶ βάθος, τὴν δὲ τελείαν περίοδον ἐκ τῆς συναγωγῆς τῶν ὁρίων ἀποτελεῖσθαι· τρεῖς γὰρ εἶναί φασιν οἱ ἀρχαῖοι περιόδους πάντων τῶν πλανήτων, μεγίστας ἐλαχίστας μέσας, καὶ τὴν μὲν τοῦ Κρόνου μεγίστην ἑπτὰ καὶ πεντήκοντα ἐτῶν, τὴν δὲ Διὸς ἐννέα καὶ ἑβδομήκοντα, Ἄρεός γε μὴν ἓξ πρὸς τοῖς ἑξήκοντα — ὅθεν τοσαύτας χιλιάδας ἀνδρῶν ἐπήγετο ὁ Καῖσαρ ὡς κἂν τούτῳ τῷ μέρει ἐμπειρότατος ἔν τε τῷ ἐμφυλίῳ καὶ ἐν τοῖς ἄλλοις πολέμοις, καὶ εἰκότως ἐκράτει — Ἡλίου δὲ εἴκοσι καὶ ἑκατόν — οὗ δὴ χάριν ἀδύνατον ἄνθρωπον ἐπέκεινα τῶν τοσούτων διαζῆσαι ἐνιαυτῶν — τῆς δὲ Ἀφροδίτης δύο καὶ ὀγδοήκοντα καὶ Σελήνης ὀκτὼ καὶ ἑκατόν. τὴν δὲ ἐλαχίστην Κρόνου ⟨τριάκοντα⟩, Διὸς δυοκαίδεκα, Ἄρεος πεντεκαίδεκα, δι᾽ ὃν καὶ τὸν κύκλον τῆς λεγομένης ἐπινεμήσεως οἱ Ῥωμαῖοι εἰς τοῦτο ἔθεντο ἀριθμοῦ, Ἡλίου ἐννεακαίδεκα, Ἀφροδίτης ὀκτώ, Ἑρμοῦ εἴκοσι καὶ Σελήνης πέντε πρὸς τοῖς εἴκοσι. τὴν δὲ μέσην Κρόνου μὲν τριῶν καὶ τεσσαράκοντα πρὸς τῷ ἡμίσει, Διὸς ⟨πέντε καὶ τεσσαράκοντα πρὸς τῷ ἡμίσει⟩, Ἄρεος τεσσαράκοντα πρὸς τῷ ἡμίσει, Ἡλίου ἐννέα καὶ ἑξήκοντα πρὸς τῷ ἡμίσει, Ἀφροδίτης πέντε πρὸς τοῖς τεσσαράκοντα, Σελήνης ἓξ καὶ ἑξήκοντα πρὸς τῷ ἡμίσει. καὶ αἱ μὲν μέγισται καὶ ἐλάχισται καὶ μέσαι περίοδοι τοιαῦται, αἱ δὲ τέλειαι ἀποκαταστάσεις τῶν πλανήτων οὕτω· Κρόνος ποιεῖται τὴν ἀποκατάστασιν ἔτεσι πέντε καὶ ἑξήκοντα καὶ δια-

v. 14 lacuna quindecim litterarum *S*; numerorum computus τριάκοντα supplendum esse evincit, itemque in lacuna duodecim fere litterarum v. 20 μ̅ε̅ πρὸς τῷ ἡμίσει. Mercurii maximam et mediam περίοδον omisit.

κοσίοις, Ζεὺς ἑπτὰ καὶ εἴκοσι καὶ τετρακοσίοις, Ἄρης S τέσσαρσι καὶ ἐννενήκοντα καὶ διακοσίοις, Ἥλιος ἑνὶ καὶ ἑξήκοντα καὶ τετρακοσίοις καὶ χιλίοις, Ἀφροδίτη ἑνὶ καὶ πεντήκοντα καὶ ἑκατὸν καὶ χιλίοις, Ἑρμῆς ὀγδοήκοντα πρὸς τοῖς τετρακοσίοις, Σελήνη πέντε πρὸς τοῖς εἴκοσιν, ἡ δὲ τοῦ παντὸς ἀποκατάστασις γίνεται δι' ἐτῶν μυριάδων ἑκατὸν ἑβδομήκοντα πέντε καὶ τρισχιλίοις πρὸς τοῖς διακοσίοις, καὶ τότε γίνεται σύνοδος πάντων τῶν ἀστέρων κατὰ τὴν τριακοστὴν μοῖραν τοῦ καρκίνου ἢ τὴν πρώτην τοῦ λέοντος· καὶ ἐπὶ μὲν τοῦ καρκίνου γένοιτ' ἂν κατακλυσμός, ἐπὶ δὲ τοῦ λέοντος ἐκπύρωσις, ἀλλ' οὐ καθολικὴ κατὰ τοὺς Στωικούς, μερικὴ δὲ πάντως· ἐκείνοις γὰρ δοκεῖ τὸ πᾶν αἰσθητὸν τοῖς τοιούτοις ὑπάγεσθαι καταστήμασι καὶ αἰτίαν ἀξιοῦσι διδόναι τοιάνδε, τὸ δὲ πᾶν φασι τῷ ἀπείρῳ χρόνῳ ἢ ταῖς ἐκπυρώσεσι τῶν ἐν οὐρανῷ φωστήρων ἀποξηραίνεσθαι ἢ ταῖς ἐπικλύσεσιν τῶν ὑδάτων διαχεῖσθαι καὶ διαπίπτειν ἀπὸ τῆς ἐπιπλαζούσης ὑγρότητος καὶ ἀναλύεσθαι καὶ τὸ στεγανὸν ἀπολλύειν. ἀνάγκη τοιγαροῦν πρὸς ἑκάτερον ἁρμόσαι τὴν πρόνοιαν καὶ δίκην γεωργοῦ νῦν μὲν πυρὶ τὴν ἐν βάθει τῆς φύσεως ἐκκαλεῖσθαι θερμότητα, νῦν δὲ ὕδατι τὴν μεμανωμένην τῆς γῆς κατάρδειν ξηρότητα.

Rr III,12 17. Ὅτι Ἕλληνες μὲν ἀπὸ τῆς κε' Δεκεμβρίου τὴν Y ἀρχὴν ἐποιοῦντο τοῦ ἔτους ἤτοι τὴν τροπήν, Ῥωμαῖοι δὲ μετὰ ὀκτὼ ἡμέρας κατὰ τὴν πρώτην Ἰανουαρίου· οἱ μὲν Ἕλληνες τὴν τροπὴν αὐτὴν τηροῦντες, οἱ δὲ Ῥωμαῖοι τὴν τοῦ γνώμονος σκιὰν πότε συστέλλεσθαι

v. 12 cf. Diels Doxogr. gr. 468ª 8 sqq.

v. 26 *ἰαννουαρίου* saepe *Y*

Y ἄρξεται· μέχρι γὰρ τῶν ὀκτὼ ἀνεπαίσθητός ἐστιν ἡ
τῆς σκιᾶς μείωσις.

18. Ὅτι διὰ τὴν γένεσιν διττὴ γέγονεν ἡ τῶν Rr III, 13
S οὐρανίων κίνησις· εἰ γὰρ ἁπλῆ ἦν περιφορά, ἣν ὁ
ἀπλανὴς οὐρανὸς ποιεῖται πάντα συνέχων ἐν ἑαυτῷ
YS καὶ περιδινῶν, οὐδὲν ἂν ἀπ' αὐτῆς παρήχθη· τί γὰρ
S ἀπὸ τῆς ἁπλῆς κινήσεως ἂν ἄλλο ἀποτελεσθῇ παρ'
αὐτήν; ἐπεὶ δὲ ἀντιφέρονται πολλαὶ καὶ ποικίλαι τῇ
μιᾷ περιφορᾷ, πᾶσα γένεσις ὁμοῦ παράγεται ἀπ'
YS αὐτῶν. οὕτω γὰρ ὁ Ἀριστοτέλης ἐν τῷ δευτέρῳ περὶ
γενέσεως καὶ φθορᾶς φησι· 'μιᾶς μὲν οὔσης τῆς φορᾶς
οὐκ ἐνδέχεται γίνεσθαι τὰ ἄμφω, γένεσιν καὶ φθοράν,
διὰ τὸ ἐναντία εἶναι· τὸ γὰρ αὐτὸ καὶ ὡσαύτως ἔχον
ἀεὶ τὸ αὐτὸ πέφυκε ποιεῖν, ὥστε ἤτοι γένεσίς ἐστιν
ἀεὶ ἢ φθορά. δεῖ δὲ πλείους εἶναι τὰς κινήσεις καὶ
ἐναντίας ἢ τῇ φορᾷ ἢ τῇ ἀνωμαλίᾳ· τῶν γὰρ ἐναν-
Y τίων τὰ ἐναντία αἴτια. διὸ οὐχ ἡ πρώτη φορὰ αἰτία
ἐστὶ γενέσεως καὶ φθορᾶς, ἀλλ' ἡ κατὰ τὸν λοξὸν
κύκλον· ἐν ταύτῃ γὰρ καὶ τὸ συνεχὲς ἔνεστι καὶ τὸ
κινεῖσθαι δύο κινήσεις.'

S 19. Ὅτι ὁ ἀπλανὴς οὐρανὸς ἁπλοῦς ὅλως πρὸς deest Rr
τοῦ πάντων ἐπέκεινα κατὰ τὸ λόγιον πραχθεὶς πάντα
συνέχων καὶ περιδινῶν πάντα κινεῖ καὶ μεταδίδωσι

v. 10 Aristoteles περὶ γενέσεως καὶ φθορᾶς II, 10 p. 336a 26 sqq. Bekker

v. 4 ὅτι εἰ μία ἦν ἡ περιφορὰ — 17 τὰ ἐναντία αἴτια *S* | περιφορά — 6 περιδινῶν omis. *Y* 6 τί γὰρ — 10 ἀπ' αὐτῶν omis. *Y* 10 οὕτω γὰρ ὁ] ὡς καὶ *Y* 11 φησι omis. *Y* | φθορᾶς *Y*, φορᾶς *S* cum Aristotele 12 γίνεσθαι *Y*, γενέσθαι *S*, γίγνεσθαι Arist. | τὰ omis. Arist. | γένεσιν καὶ φθορὰν omis. Arist. 13 ἔχων *D* 14 ὥστε — 15 φθορά omis. *S* 15 ἀεὶ ἔσται Arist. 17 αἴτια τὰ ἐναντία *Y*, τὰ ἐναντία αἴτια *S* Arist. | διὸ καὶ οὐχ Arist. 22 παραχθεὶς coni. Gu. Kroll.

τοῖς πᾶσιν ἑαυτοῦ καὶ ταχύτατός ἐστι πάσης κινήσεως S *καὶ ἀεὶ ὡσαύτως ἔχων, τό τε εἶναι τῷ παντὶ αἰσθητῷ δίδωσι οὐδεμίαν ἐναλλαγὴν καὶ ποικιλίαν λαχών.*

RrIII,14 20. *Ὅτι δὲ τὸν ἐνιαυτὸν ὡς θεὸν ἐτίμησαν, δῆλον* X *ἐξ αὐτῆς τῆς Λυδῶν βασιλίδος πόλεως. Σάρδιν γὰρ αὐτὴν καὶ Ξυάριν ὁ Ξάνθος καλεῖ, τὸ δὲ Σάρδιν ὄνομα εἴ τις κατὰ ἀριθμὸν ἀπολογίσεται, πέντε καὶ ἑξήκοντα καὶ τριακοσίας εὑρήσει συνάγων μονάδας· ὡς κἀντεῦθεν εἶναι δῆλον, πρὸς τιμὴν ἡλίου τοῦ τοσαύταις ἡμέραις τὸν ἐνιαυτὸν συνάγοντος Σάρδιν ὠνομασθῆναι τὴν πόλιν. νέον δὲ σάρδιν τὸ νέον ἔτος ἔτι καὶ νῦν λέγεσθαι τῷ πλήθει συνομολογεῖται· εἰσὶ δὲ οἵ φασι, τῇ Λυδῶν ἀρχαίᾳ φωνῇ τὸν ἐνιαυτὸν καλεῖσθαι σάρδιν.*

deestRr 21. *Ὅτι τὸν Πᾶνα εἰς τὴν τοῦδε τοῦ παντὸς φύσιν* S *λαμβάνουσιν οἱ Λυδοί, κεραόν τινα ἀπὸ σελήνης, φλογώδη δὲ τὰς ὄψεις ἀπὸ τοῦ αἰθέρος, λάσιον δὲ τὸ σῶμα ἀπὸ τῆς γῆς, χείρονος δὲ φύσεως τὰ λοιπὰ διὰ τὴν ἄλογον τῆς ὕλης ποικιλίαν.*

deestRr 22. *Οἱ μῆνες δυοκαίδεκα παρὰ πᾶσιν ὄντες ἄλλοις* H *ἔθνεσιν ἄλλως προσαγορεύονται. καὶ γὰρ Ἀθηναίοις μὲν οὕτως· Ἐλαφηβολιὼν Μουνυχιὼν Θαργηλιὼν Σκιροφοριὼν Ἑκατομβαιὼν Μεταγειτνιὼν Βοηδρομιὼν Πυανεψιὼν Μαιμακτηριὼν Ποσειδεὼν Γαμηλιὼν Ἀνθεστη-*

v. 6 Xanthus fr. 14 add. FHG IV p. 629

v. 4 *ὅτι σάρδεις ἡ λυδῶν πόλις εἰς τιμὴν τοῦ ἡλίου ἐκτίσθη. ὅθεν καὶ ὁ τῶν στοιχείων ἀριθμὸς εἰς τὰς τξε συμποιοῦται ἡμέρας τοῦ ἐνιαυτοῦ. καὶ σάρδιν δὲ παρὰ τῶ πλήθει (τὸ πλῆθος D) τὸ νέον ἔτος Y* 7 *κατὰ τὸν ἀριθμὸν B* | *ὑπολογίσεται A* 9 *ἠελίου B* 11 *νεόν δὲ A, νέου δὲ B* 22 *νουνεχιὼν H*, corr. H_2 | *σκηροφοριὼν H*, corr. H_2 23 *πιανεψιὼν μεμακτεριὼν ποσιδαιὼν H*, corr. H_2

H ριών. Ἕλλησι δὲ οὕτως· Γορπιαῖος Ὑπερβερεταῖος Δῖος Ἀπελλαῖος Αὐδοναῖος Περίτιος Δύστρος Ξανθικὸς Ἀρτεμίσιος Δαίσιος Πάνεμος Λῷος. Ἑβραίοις δὲ οὕτως· Θεσρὶ Μαρχεσουβὰν Χασελὲθ Τεβὲθ Σαφὰτ Ἀδὰρ Νισὰν Ἰὰρ Σιβὰν Θαμοῦς Ἀὰβ Ἐλούλ. Αἰγυπτίοις δὲ οὕτως· Θὼθ Φαωφὶ Ἀθὺρ Χοιὰκ Τυβὶ Μεχὶρ Φαμενὼθ Φαρμουθὶ Παχὼν Παϋνὶ Ἐπιφὶ Μεσωρί. Ῥωμαίοις δὲ οὕτως· Σεπτέμβριος Ὀκτώβριος Νοέμβριος Δεκέμβριος Ἰανουάριος Φεβρουάριος Μάρτιος Ἀπρίλλιος Μάϊος Ἰούνιος Ἰούλιος Αὔγουστος. οὕτω μὲν
HS οὖν τὰ τῶν μηνῶν παρὰ τοῖς ἔθνεσιν ἔχει, οἱ δὲ Βαβυλώνιοι καὶ Αἰγύπτιοι ἀρχὴν ἐνιαυτοῦ τὴν ἐαρινὴν ὡρίσαντο τροπήν, ὥσπερ ἀπὸ κεφαλῆς τὴν ἐν κριῷ ἰσημερίαν λαμβάνοντες διὰ τὸ πᾶσαν ἐν τῷ ἔαρι τὴν αἰσθητὴν φύσιν αὔξεσθαι. Ἕλληνες δὲ τὴν πρώτην τοῦ καρκίνου μοῖραν, ὡς ἄν τις εἴποι, τὴν εἰκάδα τρίτην τοῦ Ἰουνίου μηνὸς, εἰς ἀρχὴν ἔτους παρέδοσαν. ἀλλὰ τούτοις μὲν καὶ τοῖς ἄλλοις ἅπασιν ἔθνεσι μία τις ἐφυλάττετο τοῦ ἐνιαυτοῦ καταρχή, τοῖς δὲ Ῥωμαίοις
YHS τρεῖς· μία μὲν ἱερατική, ἑτέρα δὲ πάτριος, ἡ δὲ ἄλλη Rr III, 15

v. 1 ὑπερβορεταῖος *H* 2 ξανθικὸς δύστρος *H* 4 Hebraeorum nomina non restitui 6 φαώθ *H* | μαχεὶρ *H* 7 φαμοὺθ *H* | μεσορὶ *H* 8 nomina mensium Romanorum per compendia scripta sunt *H* 11 ὅτι Βαβυλώνιοι μὲν καὶ αἰγύπτιοι — 17 παρέδοσαν *S* 13 ὥσπερ — 14 λαμβάνοντες omis. *S* 14 ἦρι *S* 16 τοῦ καρκίνου — p. 61, 7 ἰνδικτιῶνα καλοῦσι Mutinensis quoque codex exhibet graecus 34 (III A 20) | ὡς — 17 μηνὸς omis. *H* 18 ὅτι τοῖς μὲν ἄλλοις ἔθνεσιν μιά — p. 61, 7 ἰνδικτιῶνα καλοῦσιν *S* | τοῦ omis. *S* 20 *X* huius paragraphi nulla verba servavit nisi ματρώνας τὰς εὐγενίδας (p. 61, 19). ἰνδικτιῶνα μὲν οὖν οἱ ῥωμαῖοι τομὴν ἐνιαυσιαίου κύκλου πατρίως καλοῦσιν (p. 61, 7). *Y* incipit ὅτι τρεῖς ἀρχὰς ἦγον ῥωμαῖοι τοῦ ἐνιαυτοῦ· μίαν μὲν ἱερατικὴν κατὰ τὸν ἰαννουάριον αὐξανούσης ἤδη τῆς ἡμέρας, δευτέραν δὲ τὴν τοῦ μαρτίου πρώτην, ἣν πάτριον εἶχον, καθ' ἣν καὶ τὰ ὅπλα ἔθος αὐτοῖς κινεῖν· τὴν δὲ

κυκλικὴ καὶ πολιτική. καὶ ἱερατικὴ μὲν κατὰ τὸν Ἰανουάριον, ὅταν ὁ ἥλιος τὸν αἰγόκερων παριὼν αὔξησιν ποιῆται τῆς ἡμέρας· πάτριος δὲ ἡ παρ᾽ αὐτοῖς λεγομένη πρώτη τοῦ Μαρτίου μηνός, καθ᾽ ἣν καὶ τὰ ὅπλα ἔτι καὶ νῦν Ῥωμαίοις ἔθος κινεῖν. ἡ δὲ πολιτικὴ ἢ μᾶλλον κυκλικὴ ἡ πρώτη τοῦ Σεπτεμβρίου μηνός, ἣν Ἕλληνες μὲν ἐπινέμησιν, αὐτοὶ δὲ ἰνδικτιῶνα καλοῦσιν· ἰνδικτιῶνα γὰρ οἱ Ῥωμαῖοι τὸ μήνυμα τοῦ ἐνιαυσιαίου κύκλου πατρίως καλοῦσιν. τῆς γὰρ ἀρχαιότητος τὸν κύκλον ἐχούσης εἰς τὸ λεγόμενον παρ᾽ αὐτοῖς λοῦστρον, τουτέστιν εἰς τὴν πενταετηρίδα — καθαρμὸς δὲ ἦν καὶ μυστήρια Μητρὸς κατ᾽ αὐτὸν ἐτελεῖτο — ἔδοξεν ὕστερον πρὸς τιμὴν Ἄρεος — πάτριος δὲ Ῥωμαίοις, ὥς φασι, θεός — παρὰ πεντεκαιδέκατον ἐνιαυτὸν ἀνανεοῦσθαι τὸν κύκλον. ἡ γὰρ τελεία ἀποκατάστασις Ἄρεος διχῶς παραφυλάττεται, μικρὰ μὲν πεντεκαίδεκα, μέση δὲ ἑβδομήκοντα ἐννέα. ὅτι δὲ πάτριον ἀρχὴν ἐνιαυτοῦ τὸν Μάρτιον οἱ Ῥωμαῖοι παρέλαβον, δῆλον καὶ ἀπὸ τοῦ τὰς λεγομένας παρ᾽ αὐτοῖς ματρώνας, τουτέστι τὰς εὐγενίδας, τοὺς οἰκέτας ἑστιᾶν, καθάπερ ἐν τοῖς Κρονίοις τουτὶ πράττειν ἔθος ἦν τοὺς κεκτημένους· ὧν αἱ μὲν δι᾽ Ἄρεος τιμὴν δουλεύουσι τοῖς ἄρρεσι τῶν οἰκετῶν διὰ τὴν κρείττονα φύσιν, οἱ δὲ — ἀποτρόπαιον ὥσπερ θεραπείαν εἰσάγοντες τῷ Κρόνῳ —

YHS (l. 1) YH (l. 7) Y (l. 9)

πολιτικὴν ἢ μᾶλλον κυκλικὴν κατὰ τὴν πρώτην τοῦ σεπτεμβρίου, ἣν ἡμεῖς μὲν ἐπινέμησιν, αὐτοὶ δὲ ἰνδικτιῶνα καλοῦσιν· τῆς γὰρ ἀρχαιότητος (p. 61, 9) *κτλ.* | *μία μὲν ἱερατική ἤγουν ὅταν ὁ ἥλιος τὸν αἰγοκέρωτα — ποιεῖται τῆς ἡμέρας· ἑτέρα δὲ πάτριος ἢ ὅταν* (*ὅταν* del. *S*) *ἡ παρ᾽ αὐτοῖς — κινεῖν S*

v. 1 *κατὰ τὸν Ἰανουάριον* omis. *H* 5 *ἡ δὲ τρίτη κυκλικὴ ἢ πολιτικὴ S* 6 *ἣν αὐτοὶ μὲν ἰνδικτιῶνα καλοῦσιν, Ἕλληνες δὲ ἐπινέμησιν ἐκ τοῦ πράγματος ὠνόμασαν· ἐπὶ γὰρ ζυγῷ κτλ.* (init. § 23) *S* 9 *πατρίως καλοῦσιν.* cet. des. *H* 17 *μέση*] *μεγάλη* ci. *Rr*

Y τοῖς ἑαυτῶν δούλοις ἐδούλευον, ὅπως μὴ ταῖς ἀληθεί-
αις νεμεσητόν τι παθόντες εἰς δουλείαν πολεμίων
καταπέσωσιν.

XYS 23. Ἐπινέμησιν δὲ αὐτὴν Ἕλληνες ἐκ τοῦ πράγ- RrIII,16
ματος ὠνόμασαν. ἐπὶ γὰρ ζυγῷ γενόμενος ὁ ἥλιος
XY δείκνυσι τὴν τῶν καρπῶν ποιότητα· κατ' αὐτὴν δὲ
φιλανθρώπως οἱ πάλαι τοὺς φόρους τοῖς ὑπηκόοις
ἐπένεμον, ὡς μὴ παρὰ τὴν τούτων ἐπίδοσιν ἀσεβῶς
δοκοῖεν βαρύνεσθαι οἱ φορολογούμενοι. εἰκότως οὖν
αὐτὴν ἐπινέμησιν οἱονεὶ διανομήν τινα τῶν δασμῶν
ἐκάλεσαν. οὐ γὰρ ἦν οὕτως ἀδυσώπητος ἡ τῶν φό-
ρων εἴσπραξις οὐδ' ὡρισμένη τις ἢ μᾶλλον αὐξομένη
κατὰ μικρόν, ἀλλὰ πρὸς τὸ χρειῶδες τῶν ἀνακυπτόν-
X των τοῖς κρατοῦσιν ἐγένετο. ταύτῃ καὶ ἐπιτάγματα
τοὺς φόρους ἔτι καὶ νῦν Ἀσιανοὶ καλοῦσιν. ὅθεν
ἐπ' εἰρήνης ἐναπονεμόντων ἐπὶ πλεῖστον καὶ τὸ λοι-
πὸν συγχωρουμένων τοῖς συντελέσι τῶν φόρων, τοι-
αῦτα ταῖς πόλεσι περιγέγονε θαυμαστά, λουτρὰ λέγω
καὶ ἀγοραὶ καὶ ὑδάτων ὁλκοὶ ἄπειρον εὐδαιμονίαν
τῶν οἰκητόρων κηρύττοντες.

v. 4 ὅτι ἐπινέμησις ἐντεῦθεν εἴρηται παρ' ἕλλησιν· ἐπὶ κτλ. *Y*, ἕλληνες δὲ ἐπινέμησιν ἐκ τοῦ πράγματος — 6 ποιότητα *S* 5 ἐπὶ ζυγῷ γὰρ *B* | γινόμενος *YA* 9 βαρύνεσθαι τυχὸν οὐ φορολογούμενοι (φοραλογούμενοι *A*) *X*, βαρύνεσθαι οἱ φορολογούμενοι *Y* | οὖν omis. *X* 9 ἐπινέμησις οὖν οἱονεὶ διανομὴ δασμῶν· οὐ γὰρ *Y* 14 ἐγίνετο. reliqua desunt *Y*

LIBER QUARTUS.

Ἰανουάριος. X

RrIV,1 1. Ἀποχρώντως ἡμῖν εἴρηται, ἀρχὴν ἱερατικοῦ XS
ἐνιαυτοῦ τὸν Ἰανουάριον μῆνα τοῖς Ῥωμαίοις παρὰ τοῦ
βασιλέως Νουμᾶ ὁρισθῆναι, καθ' ὃν τοῖς ὑπὲρ σελήνην S
ἐνήγιζον, ὥσπερ ἐν τῷ Φεβρουαρίῳ τοῖς ὑπ' αὐτήν.
ῥητέον τοίνυν περὶ Ἰανοῦ, τίς τε ἄρα ἐστὶ καὶ τίς ἡ X
περὶ αὐτοῦ δόξα γέγονε τοῖς ἀρχαίοις. ὁ Λαβεὼν οὖν
φησιν αὐτὸν καλεῖσθαι Ἰανὸν Κονσίβιον τουτέστι
βουλαῖον, Ἰανὸν Κήνουλον καὶ Κιβούλλιον — οἱ γὰρ Cedren.
Ῥωμαῖοι κίβους τὴν τροφὴν ἐκάλουν — οἷον εὐωχιαστικόν, X
Πατρίκιον ὡσεὶ αὐτόχθονα, Κλουσίβιον ἀντὶ τοῦ ὁδιαῖον,
Ἰουνώνιον τουτέστιν ἀέριον, Κυρῖνον ὡσανεὶ πρόμαχον,
Πατούλκιον καὶ Κλούσιον οἱονεὶ θυρεόν, Κουριάτιον
οἱονεὶ ἔφορον εὐγενῶν· Κουριάτιοι γὰρ καὶ Ὁράτιοι ὀνόματα εὐπατριδῶν εἰσι. καὶ οἱ μὲν δίμορφον αὐτὸν μυθο-

v. 8. Labeo Kahl Philol. suppl. V 730 sq.

v. 3 ὅτι ἰαννουάριος εἴρηται ἀπὸ τοῦ ἰανοῦ θεοῦ τινος cet. des. *Y* 4 τὸν ἰανουάριον ἀρχὴν τοῦ ἐνιαυτοῦ ῥωμαῖοι ἐνόμιζον καὶ διὰ τοῦτο αὐτὸν οὕτως ὠνόμασαν ὡς ἢ τοῦ αἰῶνος πατέρα ἢ ὅτι ἔνον τὸν ἐνιαυτὸν ἕλληνες εἶπον ὡς καλλίμαχος ἢ ἀπὸ τῆς ἰανούας ὅ ἐστι θύρας ἰανουάριον ὀνομασθῆναι *H*, ὅτι ἀρχὴ ἱερατικοῦ ἐνιαυτοῦ ὁ ἰανουάριος τοῖς ῥωμαίοις παρὰ τοῦ βασιλέως νουμᾶ ὡρίσθη, καθ' ὃν — 6 ὑπ' αὐτὴν *S* 4 τοῦ omis. *B* 5 καθ' ὃν — 6 ὑπ' αὐτὴν desunt *X* 7 ῥητέον — 8 ἀρχαίοις· καὶ οἱ μὲν δίμορφον (16) — p. 64, 6 σεσωσμένον Lambecius in Codinum p. 152 nr. 26 8 Λαβεών] λαβών *B* 9 κονσίλιον *B* 10 καὶ Κιβούλλιον — 11 ἐκάλουν e Georgio Cedreno hist. comp. p. 295, 7 Bonn. addidi: ὅτι Ῥωμαῖοι κίβους τὴν τροφὴν ἐκάλουν· ἐξ οὗ καὶ Ἰανὸν Κιβούλλιον διὰ τὸ εὐωχαστικὸν καὶ Ἰανὸν Κυρῖνον ὡσανεὶ πρόμαχον, καὶ Κονσαῖον ἀντὶ τοῦ ὁδαῖον καὶ πατρίκιον αὐτόχθονα 11 οἷον] τουτέστιν *B* | εὐωχαστικόν *B* 12 εἰδιαῖον *B* 14 κλούδιον *B* 15 ὡσανεὶ εὐγενῶν ἔφορον *B* | καὶ Ὁράτιοι] καὶ omis. *B*

X λογοῦσι, νῦν μὲν κλεῖς τῇ δεξιᾷ φέροντα ὡσανεὶ θυρεόν, νῦν δὲ τῇ μὲν δεξιᾷ τριακοσίας τῇ δὲ ἑτέρᾳ ἑξήκοντα πέντε ψήφους ἀριθμοῦντα ὥσπερ τὸν ἐνιαυτόν. ἔνθεν καὶ τετράμορφον ἀπὸ τῶν τεσσάρων τροπῶν· καὶ τοιοῦτον αὐτοῦ ἄγαλμα ἐν τῷ φόρῳ τοῦ Νερβᾶ ἔτι καὶ νῦν λέγεται σεσωσμένον. Λογγῖνος δὲ Αἰωνάριον αὐτὸν ἑρμηνεῦσαι βιάζεται ὡσεὶ τοῦ αἰῶνος πατέρα, ἢ ὅτι ἔνον τὸν ἐνιαυτὸν Ἕλληνες εἶπον, ὡς Καλλίμαχος ἐν πρώτῳ αἰτιῶν·

τετράενον Δαμάσου παῖδα Τελεστορίδην,

ἢ ἀπὸ τῆς ἴας ἀντὶ τοῦ τῆς μιᾶς κατὰ τοὺς Πυθαγορείους. ὅθεν ὁ Μεσσαλᾶς τοῦτον εἶναι τὸν αἰῶνα
XS νομίζει· καὶ γὰρ ἐπὶ τῆς πέμπτης τοῦ μηνὸς τούτου ἑορτὴν Αἰῶνος ἐπετέλουν οἱ πάλαι.

X 2. Δυοκαίδεκα πρυτάνεις πρὸς τοῦ Νουμᾶ τοὺς Rr IV 2
καλουμένους Σαλίους ὁρισθῆναί φασιν ὑμνοῦντας τὸν Ἰανὸν κατὰ τὸν τῶν Ἰταλικῶν μηνῶν ἀριθμόν. ὁ δὲ Βάρρων ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῶν θείων

v. 9 Callimachus frgm. 13ª Schneider 12 Messala cf. Macrob. I, 9, 14 15 Varro ant. div. l. XVI fr. 4 apud Merkelium Ovid. Fast. p. CCXXI

v. 1 κλεῖ *A* κλεῖδα Lambecius 4 τετράμορφον αὐτὸν ἀπὸ *B* 5 τοιοῦτο Lambecius | 'Plinius Iani signum eiusmodi in foro Nervae' *B* in marg. 6 ἄλλος *X*, Λογγῖνος sumpsi e cod. Par. suppl. gr. 607 A f. 2ᵛ(R): Τὸ ἄγαλμα τοῦ Ἰαννουαρίου ἱστοροῦσι τετράμορφον διὰ τὰς τέσσαρας τροπάς· ἄλλοι πλάττουσιν αὐτὸν ἐν τῇ δεξιᾷ χειρὶ κλεῖδα κατέχοντα ὡς ἀρχὴν τοῦ χρόνου καὶ ἄνοιξιν τοῦ ἐνιαυτοῦ καὶ θυραῖον· ἕτεροι δὲ τῇ δεξιᾷ τριακοσίας τῇ δὲ ἀριστερᾷ ἑξήκοντα πέντε ⟨ψήφους add. Treu⟩ κατέχοντα, ὥσπερ τὸν ἐνιαυτόν. ὅθεν καὶ ὁ Λογγῖνος Αἰωνάριον αὐτὸν ἑρμηνεῦσαι βιάζεται ὡσανεὶ αἰῶνος πατέρα. 7 βούλεται, suprascr. βιάζεται *A* 8 ἔννον et 10 τετραέννου *X*, τετράενον Bentley 11 πυθαγορίους *A* 13 μινὸς *A* 13 ὅτι ἐπὶ τῆς πέμπτης τοῦ ἰαννουαρίου μηνὸς — 14 πάλαι *S* 17 κατὰ τῶν, τὸν suprascr. *B*

πραγμάτων φησὶν αὐτὸν παρὰ Θούσκοις οὐρανὸν λέ- X *γεσθαι καὶ ἔφορον πάσης πράξεως καὶ Ποπάνωνα διὰ τὸ ἐν ταῖς Καλένδαις ἀναφέρεσθαι πόπανα. Φοντήϊος δὲ ἐν τῷ περὶ ἀγαλμάτων ἔφορον αὐτὸν οἴεται τοῦ παντὸς χρόνου τυγχάνειν, καὶ ταύτῃ δωδεκάβωμον εἶναι τὸν αὐτοῦ ναὸν κατὰ τὸν τῶν μηνῶν ἀριθμόν. ὁ δὲ Γάβιος Βάσσος ἐν τῷ περὶ θεῶν δαίμονα αὐτὸν* XS *εἶναι νομίζει τεταγμένον ἐπὶ τοῦ ἀέρος, καὶ δι' αὐτοῦ τὰς τῶν ἀνθρώπων εὐχὰς ἀναφέρεσθαι τοῖς κρείττοσι· ταύτῃ δίμορφος εἶναι λέγεται ἔκ τε τῆς πρὸς ἡμᾶς ἔκ τε τῆς πρὸς θεοὺς ὄψεως. καὶ ἐν τῇ καθ' ἡμᾶς Φιλα-* S *δελφείᾳ ἔτι καὶ νῦν ἴχνος τῆς ἀρχαιότητος σώζεται· ἐν γὰρ τῇ ἡμέρᾳ τῶν Καλενδῶν πρόεισι ἐσχηματισμένος αὐτὸς δῆθεν ὁ Ἰανὸς ἐν διμόρφῳ προσώπῳ, καὶ Σατοῦρνον αὐτὸν καλοῦσιν οἷον Κρόνον. ὅ γε μὴν* X *Λουτάτιος Ἥλιον παρὰ τὸ ἑκατέρας πύλης ἄρχειν, ἀνατολῆς ἴσως καὶ δύσεως. φασὶ δὲ τὸν αὐτὸν καὶ ἔφορον τῶν ἐπὶ πόλεμον ὁρμώντων τυγχάνειν καὶ διὰ μὲν τῆς μιᾶς ὄψεως ἀποπέμπειν διὰ δὲ τῆς ἑτέρας ἀνακαλεῖσθαι τὸ στράτευμα. ὁ δὲ Πραιτέξτατος ὁ ἱεροφάντης, ὁ Σωπάτρῳ τε τῷ τελεστῇ καὶ Κωνσταντίνῳ τῷ αὐτοκράτορι συλλαβὼν ἐπὶ τῷ πολισμῷ τῆς*

v. 7 Gavius Bassus cf. Macrob. Sat I, 9, 13   16 Lutatius Catulus fr. 7 Peter HRF p. 127

v. 2 *ποπάωνα B*   3 *φροντήϊος X*, *Φοντήϊος* Wachsmuth de ost. p. XXVI   7 *ὅτι ὁ δὲ γάβιος — 15 χρόνον S* | *γάϊος A₂ B*, *γάβιος A* | *αὐτὸν* omis. *S*   8 *εἶναι τὸν ἴανον S* | *δι' αὐτῶ A*, *δι' αὐτὸν A₂* marg.   10 *ἐκ τῆς πρὸς θεοὺς ἔκ τε τῆς πρὸς ἡμᾶς S*   11 *καὶ ἐν — 15 χρόνον* omis. *X*, *ὅτι ὁ συγγραφεὺς τῶν τοιούτων φησὶν ὅτι ἐν τῇ S*, *καὶ ἐν τῇ* scripsi   16 *τὸ ἐκτέρας A*, *ἐφ' ἑκατέρας A₂* marg., *τὸ ἑκατέρας B*   21 *τελετῇ B*

X εὐδαίμονος ταύτης πόλεως, δύναμιν αὐτὸν εἶναί τινα
βούλεται ἐφ' ἑκατέρας Ἄρκτου τεταγμένην καὶ τὰς θειο-
τέρας ψυχὰς ἐπὶ τὸν σεληνιακὸν χορὸν ἀποπέμπειν.
XH καὶ ταῦτα μὲν οἱ Ῥωμαίων ἱεροφάνται· ἄλλος δέ φησι
τὸν Ἰανὸν ἥρωα γενέσθαι καὶ πρῶτον κατασκευάσαι
τεμένη καὶ τιμὰς τοῖς θεοῖς ἐπιτελέσαι, καὶ διὰ τοῦτο
X μνήμην αὐτοῦ ἐν τοῖς ἱεροῖς γενέσθαι. ὅ γε μὴν
Δημόφιλος πρῶτον αὐτὸν βούλεται οἴκους καὶ πυλεῶνας
XH κατασκευάσαι καὶ ἀπὸ τῆς ἰανούας, ὅ ἐστι θύρας,
X Ἰανουάριον ὀνομασθῆναι. ἔχειν δὲ αὐτὸν καὶ ἀδελφὴν
τοὔνομα Καμασήνην. Ὀβίδιος ὁ Ῥωμαῖος Ἰανὸν ἀλλη-
Cedren. γορεῖ τὸ χάος εἶναι. Δίων ὁ Ῥωμαῖος ἀρχαῖόν τινα ἥρωα
Ἰανὸν λέγει, διὰ τὴν τοῦ Κρόνου ξένισιν λαβόντα τὴν
γνῶσιν τῶν μελλόντων καὶ τῶν προϋπαρχόντων, καὶ
διὰ τοῦτο διπρόσωπον ὑπὸ Ῥωμαίων πλάττεσθαι· ἐξ
οὗ τόν τε μῆνα κληθῆναι Ἰανουάριον, καὶ τὴν τοῦ
ἔτους ἀρχὴν ἀπὸ τοῦ αὐτοῦ μηνὸς γίνεσθαι.

H 3. Οὗτος δὲ ὁ μὴν πρότερον Μονίας ἐκαλεῖτο ἀπὸ RrIV 3
X τῆς μονάδος. ἡ δὲ πρώτη τῶν Καλενδῶν ἑορτὴ Ῥω-
μαίοις σεβασμιωτάτη. καὶ ὁ ὕπατος ἵππῳ λευκῷ ἐπο-
χούμενος καὶ αὐτὸς λευχείμων ἡγούμενος πομπῆς
ἀνέτρεχεν ἐν τῷ Καπιτωλίῳ — τὸν δὲ τοιοῦτον

v. 4 ἄλλος est Xenon primo Italicon, Macrob. Sat I, 9, 3. 8 Demophilus fortasse ἐν τῷ περὶ τῶν παρ' ἀρχαίοις θυσιῶν καὶ ἑορτῶν, cf. Maximum ad Dionysii Areop. ep. 8 tom. II p. 129 11 Ovidii Fast. I, 103 12 Cassius Dio fr. 6, 7, tom. I p. 14 Boissevin

v. 4 ἕτεροι δέ φασιν ἰανὸν — 10 ὀνομασθῆναι *H* 7 γί-νεσθαι *H* | ὅγε μὲν — 9 κατασκευάσαι omis. *H* 8 τὸν πρῶ-τον *A* 9 κατασκεύασον *A* | καὶ] ἢ *H* | ἰαννούας ἰαννουάριον *A*, ἰαννούας θύρας ἰαννουάριον *B* 11 ἀλληγορεῖ ἰαννὸν *B* 12 Georg. Cedren. hist. comp. p. 295, 10 Bonn: Δίων — 17 γί-νεσθαι 18 οὗτος — 19 μονάδος *H* 21 ἡγουμένης *A* 22 καπετωλίῳ *A* | τοιοῦτον *A*, τοῦτον *B*

τρόπον τῆς πομπῆς πατρίως ὀβατίωνα ἐκάλουν ἐκ τῆς X
τῶν προβάτων θυσίας. καὶ τὸν μὲν ἵππον προσέφερεν
ὁ ὕπατος τῷ Διί — καὶ γὰρ Ἥλιος αὐτὸς κατὰ Φε-
ρεκύδην — εἶτ᾽ ἐκεῖθεν τὴν ὕπατον ἀναλαβὼν στολὴν
προήρχετο. τοῦτο δὲ εἰς τιμὴν τοῦ Διὸς ὡσεὶ κατα-
γωνισθέντων ἐκείνῳ τῶν Γιγάντων, ἀντὶ τοῦ νικηθέν-
τος τοῦ χείματος ὑπὸ τοῦ ἡλίου. οἱ δὲ μυθικοὶ XS
Βριάρεω τὸν χειμῶνα καλοῦσι πολύχειρά τινα, διὰ τὸ
πολυσχιδῶς τὸ ὑγρὸν ἐκχεῖσθαι κατ᾽ αὐτόν. καὶ νῦν
μὲν μάχεται ὁ Βριάρεως τῷ Διὶ οἱονεὶ τῷ ἡλίῳ, καὶ
σύμμαχος αὖθις αὐτῷ γίνεται διὰ τὸ τὴν ὑγρὰν οὐσίαν
σύμμαχον εἶναι τῇ θερμῇ.

RrIV4 4. *Ἡλίου τοίνυν ἐπεκτείνοντος τὴν ἡμέραν πρό-* X
εισιν ὁ ὕπατος, καὶ ἡ μὲν ἡμέρα ἑορτῆς καὶ ἐκεχειρίας.
οἰωνοῦ δὲ χάριν οἱ ἄρχοντες ἐπὶ τῶν βημάτων ἐγί-
νοντο καὶ πάντα τὰ στρατεύματα σὺν τοῖς ἐπισήμοις
συνήγετο. καὶ πάλαι μὲν ἰσχάδας ἀλλήλοις ἐπεδίδοσαν,
ἀπὸ γλυκείας τροφῆς δῆθεν ἀπαρχόμενοι. φύλλα δὲ
δάφνης ἐδίδοσαν ἅπερ ἐκάλουν στρῆνα εἰς τιμὴν δαί-
μονός τινος οὕτω προσαγορευομένης, ἥτις ἔφορός ἐστι
τῶν νικῶν. τὸ δὲ στρῆνα καθ᾽ Ἕλληνας τὸν εὐαρχισμὸν
τὸν ἐπὶ ἐντρεχείας στρατιωτικῆς σημαίνει. οὐ γὰρ — ὡς τὸ
πλῆθος — ἀπάγεται παιγνίου καὶ ῥᾳστώνης χάριν. φασὶ P
⟨*δὲ*⟩ *Λατῖνον ἐκεῖνον τοῦ Τηλεγόνου μὲν ἀδελφόν, Κίρ-*
κης δὲ παῖδα, πενθερὸν δὲ Αἰνείου, κτίζοντα τὴν τῆς

v. 1 *ὀβατίονα A* 3 *ὁ ἥλιος B* 4 *ἀναλαβόν A* 7 *ὅτι οἱ μυθικοὶ — 12 τῆς θερμῆς S* 11 *αὖθις — 12 σύμμαχον A* in marg. 13 *ἐκτείνοντος* A_2 corr. ex *ἐπεκτείνοντος*, quia *ἐπ* pessime scriptum legere non poterat | *τὰς ἡμέρας B* 15 *εἴωνου A* 17 *ἐπεδίδοσαν ἀλλήλοις B* 21 *εὐορχησμὸν X*, correxit *Rr* 23 *παιγνόου A* | *φασὶ κτλ.* huic loco inserui e Parisino graeco 1630 f. 98 (P), Boissonade Anecd. Gr. I, 424 sq. 24 ⟨*δὲ*⟩ addidi | *τηλεγομένου P*, corr. Boiss.

P Ῥώμης ἀκρόπολιν πρὸ τῆς παρουσίας Αἰνείου εὑρεῖν
ἐπὶ τοῦ τόπου δάφνην κατὰ τύχην καὶ οὕτως πάλιν
ἐᾶσαι αὐτὴν ἐκεῖσε διαμένειν· καὶ διὰ τοῦτο καὶ ἐν-
ταῦθα Δάφνην προσαγορεύουσι τὸ Παλάτιον. τὴν
δάφνην δὲ οἱ παλαιοὶ τῷ Ἀπόλλωνι καθιεροῦσιν,
PS ὅτι πυρὸς πλῆρες τὸ φυτὸν ὥς φησιν ὁ Πλούταρχος
P καὶ ὁ Ἀπόλλων πῦρ· ὁ ἥλιος γάρ ἐστιν. ὅθεν καὶ
ἀπεχθάνεται δαίμοσι τοῦτο τὸ φυτὸν καὶ ἔνθεν ἂν εἴη
δάφνη, ἐκποδὼν δαίμονες, κἀν ταῖς μαντείαις καίοντες
ταύτην οἱ ἄνθρωποι παράστασιν προφητείας δοκοῦσιν
PS εὑρηκέναι. οἱ παλαιότεροι δὲ τῷ Ἄρει τὴν δάφνην ἀνετί-
θησαν, οἱ δὲ μετ' αὐτοὺς τῷ Ἡλίῳ, ὅθεν καὶ τοὺς νικη-
τὰς τῶν πολεμίων δάφναις ἔστεφον, ὥσπερ τοὺς σωτῆρας
πάλιν τῇ δρυΐ, διὰ τὸ σωτηρίαν τοῖς πάλαι πρὸ τῆς εὑρή-
σεως τοῦ σίτου τὴν δρῦν γεγενῆσθαι· βαλάνους γὰρ ἤσ-
X θιον οἱ παλαιοὶ ἀντὶ σίτου. ὁ δὲ Ἐλπιδιανὸς ἐν τῷ περὶ
ἑορτῶν στρήναν τὴν ὑγείαν τῇ Σαβίνων φωνῇ λέγεσθαί
XP φησι, δι' ἣν φύλλα δάφνης ἐπεδίδοτο τοῖς ἄρχουσι
παρὰ τοῦ δήμου τῇ πρώτῃ τοῦ Ἰανουαρίου μηνός·
XPS ὑγείας γάρ ἐστιν ἐργαστική. οὐδὲ γὰρ ἱερὰ νόσος ἢ
δαίμων βαρὺς ἐνοχλήσει τῷ τόπῳ ἐν ᾧ δάφνη ἐστίν,

v. 6 *S* haec habet: ὅτι οὐχ ἱερὰ νόσος (20) — p. 69, 1 συκῆ. ὅτι σκεδαστικὴ φασμάτων ἐστί· ταύτῃ οἱ — μεταλαμβάνουσιν (p. 68, 4) ὥς φησιν ὁ πλούταρχος, πυρὸς πλῆρές ἐστι τὸ τοιοῦτον φυτόν, καὶ διὰ τοῦτο ἀπείχοντο δαίμονες. καὶ οἱ μὲν πάλαι τῶ ἄρει τοῦτο ἀνετίθεσαν, καὶ διὰ τοῦτο τοὺς νικητὰς τῶν πολέμων δάφναις ἔστεφον. οἱ δὲ μετ' αὐτοὺς τῶ ἡλίω. τοὺς δὲ σωτῆρας τῶν πόλεων δρυϊδίοις ἔστεφον· τῶ σωτῆρι τοῖς πάλαι καὶ τροφὴν πρὸ τοῦ σίτου τὴν βάλανον γενέσθαι. 6 ὥς — πλούταρχος omis. *P* 8 ἔνθα *P* 12 οἱ — Ἡλίῳ omis. *P* 16 σίτου. λέγουσι δὲ περὶ τῆς δάφνης, ὅτι καὶ ὑγείας ἐστὶν ἐργαστική· ὅθεν καὶ φύλλα αὐτῆς ἐπεδίδοντο τοῖς ἄρχουσι παρὰ τοῦ δήμου τῇ πρώτῃ τοῦ ἰανουαρίου μηνός· οὐδὲ γὰρ (20) κτλ. *P* | ὁ δὲ ἐλπιδιανὸς — 18 ἐπεδίδοτο· ὑγιαστικὸν δὲ τὸ φυτόν· οὐδὲ γὰρ *X* 17 στρῆναν *A* | σαβίνου *A* | φωνῇ *A*, γλώσσῃ *B* 21 δαίμων παρενοχλεῖ *P*

ὥσπερ οὐδὲ κεραυνὸς ὅπου συκῆ, ἀλλὰ καὶ σκεδαστικὴ XPS
φασμάτων ἐστί· ταύτῃ τοι καὶ οἱ δι' ὀνείρων θείας
τυχεῖν ἐπιφανείας ἱμειρόμενοι ἰσχάδων καὶ μόνων
μεταλαμβάνουσιν. ἐπεὶ δὲ καὶ φύλλα δάφνης μετὰ τῶν XP
RrIV 5 ἰσχάδων συνεπεδίδοντο, ἐπεκράτησε μέχρι καὶ νῦν
ἡ συνήθεια, ἐν τοῖς ἀγγείοις τῶν ἰσχάδων καὶ φύλλα
δάφνης ἐμβάλλεσθαι. διέμεινε δὲ ὅμως τὸ ἔθος ἐκ X
μόνης εὐπορίας ἐναλλαγέν· ἀντὶ μὲν γὰρ ἰσχάδων
ἐπιδίδωσι πόπανα, ἀντὶ δὲ τῶν φύλλων χρυσίον. πλακοῦντας δὲ Ῥωμαῖοι τὰ ἐκ μέλιτος πόπανα καλοῦσι
διὰ τὸ ἐν Πλακεντίᾳ τῇ πόλει τῆς Ἰταλίας πρῶτον ἐξ
Ἑλλήνων ἢ μᾶλλον ἐκ Σαμίων τὴν τοιαύτην ἐδωδὴν
παρελθεῖν, καὶ διὰ τοῦτο οὕτως λέγεσθαι, ὡς Ταραντῖνα ἀπὸ Τάραντος καὶ Κανουβικὰ ἀπὸ Κανούβου καὶ
Κοπτὰ ἀπὸ Κοπτοῦ. Σάμιος δέ τις πρῶτος μέλιτι
φυράσας ἄρτον κατεσκεύασε Δίων καὶ τὴν λεγομένην
σίσαμον ἐξεῦρεν ἐν τῇ Σάμῳ· ὅθεν καὶ συγγενὲς προσηγορίᾳ τοῦ καρποῦ τὸ χωρίον.

6 5. Ἐδέχοντο δὲ ἐπὶ τῆς Ῥώμης οἱ αὐτοκράτορες
φιλήματι τοὺς ἄρχοντας πρὸς τιμὴν ἐλευθερίας, ἀπελαθέντων τῶν τυράννων διὰ Βρούτου τοῦ Ῥωμαίων
ὑπάτου.

III 17 6. Ὅτι ἱερὸν κατὰ τὸν Ἰάμβλιχον ὁ δράκων ἐστί· YS

v. 24 πνευματικώτατον — p. 70, 12 συμπαρείληπται leguntur in Eusebii praep. ev. I, 10, 46, cf. Traube, Libamenta critica p. 25

v. 1 ἀλλὰ καὶ] ὅτι *XS* 2 φαρμάκων *XP*, φασμάτων *S* | ταύτῃ οἱ *XS* 3 ὀρεγόμενοι *X*, ἱμειρόμενοι *PS* | μόνον *B* 4 ὅτι δὲ φύλλα *X*, ἐπεὶ δὲ καὶ φύλλα *P* 4 sq. δάφνης σὺν καὶ ταῖς ἰσχάσιν ἐπεδίδοτο, φανερὸν ἐκ τοῦ μέχρι καὶ νῦν ἐν τοῖς ἀγγείοις κτλ. *X* 7 ἐκ συνηθείας ἐμβάλλεσθαι *X* | ἐμβάλλεσθαι cet. des. *P* 9 ἐπιδίδωσι *X*, scil. τὸ ἔθος; ἐπιδιδόασι scripsit *Rr* 13 ταραντηνὰ *X* 16 δι' ὧν *A*, διὸ *B*, Δίων propono 18 τοῦ *B*, τούτου *A* 23 ὅτι ὁ δράκων πνευματικώτατον *Y*

YS λέγει γὰρ ὧδε· ‘θεῖον τὸ τοῦ δράκοντος ζῷον, πνευματικώτατον πάντων ἑρπετῶν καὶ πυρῶδες· παρ' ὃ καὶ τάχος αὐτῷ ἀνυπέρβλητον διὰ τοῦ πνεύματος, χωρὶς ποδῶν καὶ χειρῶν ἢ ἄλλου τινὸς τῶν ἐκτός, δι' ὧν τὰ λοιπὰ ζῷα τὰς κινήσεις ποιεῖται· καὶ ποικίλων σχημάτων τύπους ἀποτελεῖ καὶ κατὰ τὴν πορείαν ἑλικοειδεῖς ἔχει τὰς ὁρμὰς ἐφ' ὃ βούλεται τάχος. πολυχρονιώτατος δέ ἐστι, καὶ οὐ μόνον ἐκδυόμενος τὸ γῆρας νεάζει, ἀλλὰ καὶ αὔξησιν ἐπιδέχεσθαι μείζονα πέφυκε, καὶ ἐπειδὰν τὸ ὡρισμένον μέτρον πληρώσῃ, εἰς ἑαυτὸν ἀναλίσκεται. διὸ καὶ ἱεροῖς τοῦτο τὸ ζῷον
Y καὶ μυστηρίοις συμπαρείληπται.’ ὀξύτατα δὲ πάντων βλέπει, ὅθεν καὶ δράκων ὠνόμασται.

X 7. Ἐν ταύτῃ τῇ ἡμέρᾳ Τραιανὸς τῇ πάντων III 18, IV 7
Τύχῃ καθιέρωσε ναόν, θεσπίσας κατὰ τὸν ἱερὸν νόμον,
Y μηδένα παρὰ τὸν θύσαντα γεύεσθαι τῆς θυσίας. ὅτι οὐδαμοῦ τοῦ τῆς Τύχης ὀνόματος Ὅμηρος μέμνηται,
X Ἡσίοδος μέντοι. Εἱμαρμένη οἱονεὶ εἱρομένη διὰ τὸ χρόνου δεῖσθαι καὶ διαστάσεως, ἵνα ὁ εἱρμὸς τῶν
S ὑποκειμένων σῴζηται. ὅτι τὸ τῆς Τύχης καὶ Εἱμαρμένης ἐπὶ τῆς γενέσεως προβέβληται ὄνομα· καὶ μάρτυς Ἑρμῆς ἐν τῷ καλουμένῳ τελείῳ λόγῳ οὕτως εἰπών· ‘αἱ καλούμεναι ἑπτὰ σφαῖραι ἔχουσιν ἀρχὴν τὴν καλουμένην τύχην ἢ εἱμαρμένην, ἥτις πάντα ἀλλοιοῖ καὶ

v. 18 Hes. Theog. 360 22 Hermes cf. Ps. Apulei Aesc. s. Dial. Herm. Trism. c. XIX. XXXIX

v. 3 αὐτῷ supra lin. *G*, omis. *Y* 4 χωρὶς — 5 ποιεῖται omis. *S* 6 καὶ — 7 τάχος omis. *Y* 7 πολυχρονιώτατον *Y* 8 καὶ omis. *Y* | μόνον τῷ ἐκδυόμενος (ἐκδυόμενον *G*) τὸ γῆρας νεάζειν *Y* 10 διὸ — 11 συμπαρείληπται omis. *Y* 12 ὀξύτατα — 13 ὠνόμασται omis. *S* 14 ἐν ταύτῃ — 16 θυσίας *X* 16 ὅτι οὐδαμοῦ — 18 μέντοι *Y* 18 Εἱμάρμένη — 20 σῴζηται *X* | τὸ χρόνον *B*, τοῦ χρόνου *A* 20 ὅτι τὸ τῆς τύχης eqs. *S*

ἐπὶ τῶν αὐτῶν οὐκ ἐᾷ μένειν. ἡ δὲ εἱμαρμένη ἐστὶ S *καὶ ἡ εἱμαρτὴ ἐνέργεια ἢ αὐτὸς ὁ θεὸς ἢ ἡ μετ' ἐκείνην τεταγμένη κατὰ πάντων οὐρανίων τε καὶ ἐπιγείων μετὰ τῆς ἀνάγκης τάξις. καὶ ἡ μὲν αὐτὰς κύει τὰς ἀρχὰς τῶν πραγμάτων, ἡ δὲ καταναγκάζει καὶ τὰ τέλη γίνεσθαι· ταύταις δὲ ἀκολουθεῖ τάξις καὶ νόμος καὶ οὐδὲν ἄτακτον'. ὅτι κατὰ τὰ Ἑρμοῦ δόγματα μᾶλλον ὁ Πορφύριος δοκεῖ λέγειν περὶ τύχης, λέγων οὕτω· 'τὴν τύχην οἱ παλαιοὶ τῷ ἑπτὰ ἀριθμῷ συνῆπτον, ὡς τὴν τῶν ἑπτὰ ἐπίκλωσιν ἔχουσαν, ὅσα εἰς τὸ ζῷον καὶ τὴν ἐκτὸς τούτου ἐνέργειαν ἀπ' αὐτῆς ἐπικλώθεται ταύτης κυρίας πάντων γινομένης'. καὶ τὸν καιρὸν δὲ τῇ τύχῃ προσνέμουσι, διότι ὁ καιρὸς ἐν τοῖς πράγμασι καὶ εὐστοχία ἑκάστου πρὸς τὸ ὑποκείμενον. ὁ δε Πρόκλος ἐν ὑποτυπώσει τῆς Πλατωνικῆς φιλοσοφίας περὶ τῶν τῆς ψυχῆς δογμάτων ταῦτα λέγει· 'οἱ μὲν ἡλιακοὺς ἔλαχον δαιμόνων ἡγεμόνας, οἱ δὲ σεληνιακούς, ἄλλοι δὲ ἄλλους. πρὸς τοίνυν τὴν φύσιν τῶν ἡγεμόνων πρόεισιν ἀνθρώποις τὰ εὐτυχήματα· διὰ γὰρ μέσων αὐτῶν ἀπὸ τῶν θείων εἰς ἡμᾶς διαπέμπεται τὰ ἀγαθὰ κατ' ἀξίαν'. καὶ μάρτυς ὁ Εὐριπίδου Πηλεύς·*

θεοῦ γὰρ ἐκτὸς οὐδεὶς εὐτυχεῖ βροτός. XS

Φεῦ τῶν βροτείων ὡς ἀνώμαλοι τύχαι; X
οἱ μὲν γὰρ εὖ πράσσουσι, τοῖς δὲ συμφοραὶ
⟨σκληραὶ⟩ πάρεισιν εὐσεβοῦσι πρὸς θεοῦ.

v. 22 Eur. frgm. 1025, 1 Nauck 23 — 25 Eur. Scyriorum frg. 684, 1—3 Nauck

v. 23—25 omis. *S* 25 ⟨*σκληραὶ*⟩ deest *X*, supplevi e Stob. Flor. 105, 16 et Anth. Pal. 10, 107, quae eosdem servaverunt versus 25 *εὐσεβοῦς* *B*

XS Ῥωμαῖοι δὲ μηδὲν ἕτερον παρὰ τὴν ἐν ἀνθρώποις εὐδαιμονίαν εἶναι νομίζοντες αὐτὴν καὶ μόνην τῶν πάντων ἡγεῖσθαι νενομίκασι, Φορτοῦναν αὐτὴν ἀπὸ S τῆς φορᾶς ἐμφερῶς ὀνομάσαντες. δῆλον δὲ ὅτι ὁ μὲν Πλάτων κατὰ τὴν ἔνθεον αὐτοῦ ἀφέλειαν μέμνηται ἀπολύτως τοῦ τύχης ὀνόματος, οὐ μὴν θεολογῶν ἐν τάξει θεῶν τίθησι αὐτήν. Ἀριστοτέλης δὲ καὶ Θεόφραστος καὶ πάντες οἱ κατ' αὐτοὺς οὐδὲ εἶναι αὐτὴν ἀξιοῦσι φάσκοντες· εἰ ἔστιν ἀρετή, οὐκ ἔστι τύχη· ἄνω γὰρ καὶ κάτω τὰ τῆς τύχης ἐν τοῖς ἀνθρωπίνοις γυμνάζεται πράγμασι, πλούτῳ δὲ καὶ δυνάμει καὶ δια- XS φερόντως ἀδικίᾳ· οἱ δὲ πρὸς ἀρετὴν ἔχοντες καὶ θεοῦ μεμνημένοι καὶ κρείττονας ἐπὶ τῶν ἀΰλων καὶ μακαρίων πραγμάτων ἐλπίδας σαλεύοντες καταφρονοῦσι τῶν τῇδε S καλῶν· οὐδὲν γὰρ ἀσφαλές ἐστι τῆς τύχης, ὡς Εὐριπίδης ἐν Ὑψιπύλῃ.

Ὦ θνητὰ παραφρονήματ' ἀνθρώπων· μάτην
οἵ φασιν εἶναι τὴν τύχην ἀλλ' οὐ θεούς·
XS εἰ γὰρ τύχη μὲν ἔστιν, οὐδὲν δεῖ θεοῦ,
εἰ δ' οἱ θεοὶ σθένουσιν, οὐδὲν ἡ τύχη.

X εἰκαῖον γάρ τι καὶ ἀνούσιον τὸ τῆς τύχης ὄνομα. τὰ τῶν ἀνθρώπων πράγματα κλίμακι πέφυκεν ἐξομοιοῦ-

v. 5 Plato cf. Doxogr. gr. 324ᵃ 9ᵇ 16 7 Aristot. frg. 88 p. 1491ᵇ 16 Bekker, Rose Arist. Pseudep. frg. 79, cf. A. Elter progr. Bonn. 1893 in mem. Frid. Guil. III. Gnomol. III p. 119 15 Euripides fr. 942 Nauck

v. 1 οἱ ῥωμαῖοι μηδὲν *X* 4 δῆλον — 12 ἀδικίᾳ desunt *X* 12 οἱ μὲν οὖν πρὸς *X* (εἱμενὸν οἱ *A*) 14 σαλευόντων *A*₂ 15 οὐδὲν — 18 θεοὺς omis. *X* 19 εἰ μὲν γὰρ τύχη ἐστί (ἐστί omis. *B*) *XS*, quae transposui 20 εἰ δὲ θεὸς σθένει *X* | τύχη. cet. des. *S* 21 τύχης] ψύχης *A*, τύχης *A*₂ marg. 22 ἐξομαοῦσθαι *A*, corr. *A*₂

σθαι διὰ τὴν ἀνώμαλον αὐτῶν φοράν· 'ἐν μιᾷ γάρ', ὡς ἔφη τις, X

ἡμέρᾳ
τὸν μὲν καθεῖλεν ὑψόθεν, τὸν δ' ἦρ' ἄνω,

μηδενὸς ἐν ὁμοίῳ πεφυκότος μένειν τῶν παρ' ἡμῖν, ἀλλὰ παντοίαις μεταβάλλοντος τροπαῖς. ἢ οὐκ ἄρχοντες μὲν ἐξ ἰδιωτῶν, ἰδιῶται δὲ ἐξ ἀρχόντων, πένητες δὲ ἐκ πλουσίων καὶ ἐκ πενήτων πολυχρήματοι, καὶ ἔνδοξοι μὲν ἐξ ἠμελημένων, ἐπιφανέστατοι δὲ ἐξ ἀδόξων γίνονται; χείρους οἱ τοῦ πλούτου παρὰ τὸ
Rr III 19 μέτρον ἐφιέμενοι, πλοῦτος γὰρ μᾶλλον κακίας ἢ κα- XY
λοκἀγαθίας ὑπηρέτης ἐστί, φησὶν Ἰσοκράτης ὁ ῥήτωρ· καὶ οἶμαι τούτοις προσσχόντα τὸν Πλάτωνα φάναι, μηδένα γίνεσθαι μεγίστου πλούτου κύριον, εἰ μὴ τὸν προεζημιωμένον τὴν ψυχήν.

IV 8 8. Τῇ πρώτῃ τοίνυν ὡς ἔφημεν τῶν Καλενδῶν XHS
ἐθέσπιζον οἱ ἱερεῖς κατὰ τοὺς Σιβυλλίους χρησμοὺς ὑπὲρ ὑγείας χρῆναι πάντας ἀπὸ πρωῒ πρὸ πάσης ἑτέρας τροφῆς ἀπογεύεσθαι ἀκράτου οἴνου εἰς ἀποτρόπαιον ποδαλγίας. ἰστέον δὲ κατὰ τὴν ἡμέραν τῶν X
Καλενδῶν τὸν ἥλιον ἐφ' ὕψους γίνεσθαι, τὸν δὲ Στέφανον δύεσθαι ὄρθρον.

9 9. Τῇ δὲ ἑξῆς, ἥτις ἐστὶ πρὸ τεσσάρων Νωνῶν

v. 3 cf. Eur. Inus fr. 420, 2 sq. Nauck 12 [Isocr.] πρὸς Δημόνικον § 6 13 Plato: A. Elter l. s. 20 Wachsmuth de ost. p. 295 nr. 1

v. 4 ἦρεν A 5 τῶν omis. A 8 πολυχρημάτων A 11 ἐφιουμένοι A | ὅτι τὸν πλοῦτον ἰσοκράτης μᾶλλον — καλοκάγαθίας εἶπεν ὑπηρέτην· πλάτων δὲ εἶπε μηδένα — 15 ψυχήν Y | κακίας μᾶλλον B 12 Ἰσοκράτης omis. X 16 τῇ πρώτῃ οὖν τοῦ ἰανουαρίου ἐθέσπιζον — 20 ποδαλγίας H, ὅτι τῇ πρώτῃ τῶν καλενδῶν ἐθέσπιζον — 20 ποδαλγίας S 17 σιβυλλιακοὺς S 18 ἀπὸ] ἅμα H 19 ἀποτροπὴν H

X Ἰανουαρίων, ἐσχόλαζον διὰ τὰ ἱερὰ τὰ ἱπποδρόμια. οἱ δὲ πρὸ τῆς ἐπὶ τὴν ἱπποδρομίαν προόδου, συμπαρόντων αὐτοῖς τῶν ἀρχιερέων, ἐνήγιζον τοῖς δαίμοσιν, ἐπὶ δὲ τῶν ἀγυιῶν τὰ παρ' αὐτοῖς καλούμενα μιλιαρίσια τῷ πλήθει ἐπεδίδοσαν εἰς τιμὴν Σκιπίωνος· πρῶτος γὰρ αὐτὸς ἐπὶ τῆς ἑκατοστῆς ἐννάτης Ὀλυμπιάδος δι' X Cedren. ἔνδειαν χρυσίου τοῖς στρατιώταις τὰ μιλιαρίσια κατασκευάσας ἐπιδέδωκεν, Ἀννίβου τοῖς πράγμασιν ἐπικειμένου. ὅτι κέρδος ἡ ἐπίκαιρος δόσις λέγεται καὶ μιλιαρίσια ἀπὸ τῆς μιλιτίας οἱονεὶ τῆς στρατιᾶς ὠνο- X μάσθησαν. ὁ δὲ Δάρδανος ἐν τῷ περὶ σταθμῶν χιλίων ὀβολῶν λέγει πάλαι γενέσθαι τὸ μιλιαρίσιον, καὶ ἀπὸ τῆς χιλιάδος τῶν ὀβολῶν οὕτως ὀνομασθῆναι.

10. Μετ' αὐτὴν βότα πούβλικα ὡσανεὶ δημοσίαι RrIV 10 H εὐχαί. ἱερούργουν δὲ καὶ οἱ ὕπατοι ὑπὲρ τῆς πολιτείας καὶ τοῦ δήμου τοῦ Ῥωμαϊκοῦ, καὶ πάντες οἱ ἄρχοντες ἐξώμνυντο τὰ δίκαια φυλάττειν τοῖς ὑπηκόοις. καὶ τοῦτ' ἔπραττον ὥσπερ ἐξ ἀνάγκης, ἐπεὶ πολλάκις παρανομοῦντες οἱ ἄρχοντες ἢ ἐπὶ δεκασμοῦ ἁλόντες X ἐν φρουρᾷ πρὸς τῶν δημάρχων ἀπετέθησαν. καὶ ἀδεῶς τὸ πλῆθος ἀπέσκωπτεν εἰς τοὺς ἄρχοντας οὐ ῥήμασιν, ἀλλὰ καὶ σχήμασιν ἐπὶ τὸ γελοιῶδες ἔχουσι· τοῦτο δὲ ἔπραττον εἰς τιμὴν ἐλευθερίας, καὶ οἱ ἄρχοντες ἐνεδί- XH δοσαν, ὡσανεὶ νόμῳ τῇ συνηθείᾳ παραχωροῦντες. καὶ

v. 1 ἱερὰ διὰ τὰ *X*, corr. *Rr* 3 δόγμασιν *B* 6 αὐτοῖς *B* 9 ὅτι κέρδος — λέγεται omis. *X*, supplevi e Georg. Cedren. hist. comp. p. 296, 3 Bonn: ὅτι κέρδος ἡ ἐπίκαιρος δόσις λέγεται, μιλιαρίσια δὲ ἀπὸ τῆς μιλιτίας ἤγουν στρατείας, ὁ γὰρ Σκιπίων δι' ἔνδειαν — 8 ἐπικειμένου 11 δαρδάνιος *X*, Δάρδανος scripsi, cf. Priscian. ed. M. Hertz (Keil Gram. lat. III) II p. 408, 18. 409, 30 13 οὗτος *A* 15 ἱερούργουν — 20 ἀπετέθησαν omis. *X* 24 τῇ ἡμέρα ταύτη καὶ οἱ οἰωνοσκόποι παρὰ ῥωμαίοις οὕτως ἐθέσπιζον· ἐπειδὴ γὰρ (p. 75, 3) κτλ. *H*

ἀνέφερον τὴν οἰωνοσκοπίαν οἱ ὕπατοι τοῖς αὐτοκράτορσι, δι' ἧς ἐγινώσκετο, ποταπὸς ἄρα ἔσται ὁ ἐνιαυτός. ἐπειδὴ γὰρ οἱ φυσικοὶ τὴν μὲν πρώτην τῆς ἑβδομάδος ἡμέραν τῷ Ἡλίῳ ἀναγράφουσι, τὴν δὲ δευτέραν τῇ Σελήνῃ, τὴν δὲ τρίτην Ἄρει, τὴν δὲ τετάρτην Ἑρμῇ, τὴν πέμπτην δὲ τῷ Διί, τὴν δὲ ἕκτην τῇ Ἀφροδίτῃ, τὴν δὲ ἑβδόμην τῷ Κρόνῳ, εἰ μὲν συνέβη ἡμέρᾳ Ἡλίου συνδραμεῖν τὴν ἑορτὴν τῶν Καλενδῶν ἤγουν τὴν πρώτην τοῦ Ἰανουαρίου, πολέμους καὶ ἀρχόντων διαφορὰς καὶ τῶν ὑπηκόων δι' αὐτοὺς διχονοίας ἀνέμενον, τοὺς δὲ ξηροὺς καρποὺς ἀφθόνους καὶ φήμας παραδόξους· εἰ δὲ Σελήνης, τοιαῦτα μὲν οὐκέτι, φθορὰν δὲ βρεφῶν καὶ σπάνιν τῶν ἐπιτηδείων ἔαρ τε ψυχρόν, τὰ δ' ἀκρόδρυα δαψιλῶς ἐπιδώσειν ᾤοντο· εἰ δ' Ἄρεος, ἐμπρησμοὺς μὲν καὶ νόσους, οἴνου δὲ καὶ ἐλαίου καὶ ὀσπρίων ἀφθονίαν καὶ στάσιν ἐμφύλιον· ὅταν δὲ Ἑρμοῦ, φθορὰν μὲν νηπίων καὶ νόσους ἐκ ῥύσεως γαστρὸς καὶ ταῖς μέσαις ἐν ἡλικίᾳ γυναιξὶ φθορὰν καὶ λιμὸν ἀπευκταῖον καθόλου. ἐν δὲ τῇ Διὸς ἡμέρᾳ ἐμπιπτούσης τῆς τῶν Καλενδῶν ἑορτῆς πάντα μὲν ἀγαθὰ ἐδίδοτο προσδοκᾶν, χιονώδη δὲ καὶ ὑετώδη τὸν καιρόν, ὡς μηδὲ τοὺς ποταμοὺς ταῖς ἰδίαις ἀρκεσθῆναι κοίταις· ἐπὶ δὲ τῆς ἕκτης, ἥτις Ἀφροδίτης εἶναι νομίζεται, τοῖς μὲν ἄρχουσι θόρυβον, τοῖς δὲ καρποῖς ἐπίδοσιν, καὶ

XH (l. 1) H (l. 3) XHS (l. 7)

v. 2 ἔσται] εἴη *B* 3 ἐπειδὴ — 7 Κρόνῳ desunt *X* 7 εἰ μὲν γὰρ συνέβη *X*, ὅτι εἰ συνέβη ἡμέραν ἡλίου συνδραμεῖν τῇ ἑορτῇ etc. *S* 8 ἤγουν — 9 ἰανουαρίου omis. *XS* 9 διαφθορὰς *X*, διαφορὰς *HS* 10 ἀνέμενον ῥωμαῖοι *S* 12 τοιαῦτα *XS*, ταῦτα *H* 13 ἔαρ δὲ *S* 14 ἔροντο *A*, ὤοντο *HS*, omis. *B* 16 ἀφθονίας *H* 17 μὲν omis. *S* 18 φθορὰς *H* 19 ἐν δὲ] ἐν γὰρ *X* 20 τῆς omis. *S* | πάντα μὲν τὰ ἀγαθὰ *S* 22 οἰκείαις *X*, ἰδίαις *HS* | κοίταις *XH* τύχαις *S*

XHS τοῖς κοινοῖς πολέμους βαρεῖς, φθοράν τε ἀνθρώπων καὶ διαφερόντως τῆς νεολαίας ἀνέμενον· κατὰ δὲ τὴν ἑβδόμην χειμῶνα μὲν πάντως — καὶ γὰρ ψυχρὸς ὁ Κρόνος — εὐετηρίαν τε ὅσην, ἐπεὶ ἔφορος τῶν καρπῶν αὐτὸς εἶναι ὑπείληπται, νόσους τε καὶ κινδύνους καὶ ἀνέμους τῷ θέρει καὶ χαλάζης ἐπιφορὰν περὶ τὸν καρκῖνον καὶ φήμην τοῖς πράγμασιν ἀδόκητον οἰωνίζοντο.

S 11. Ὅτι τὸν φοίνικά φασιν διὰ πεντακοσίων deest Rr ἐτῶν εἴς τινα τόπον τῆς ἄνω Ἰνδίας κατιέναι καὶ παρασκευάζειν ἑαυτῷ ἔκ τε κινναμώμου καὶ φύλλων νάρδου τε καὶ μαράθου θημῶνα ἐπιβαίνειν τε τούτου· οὗ δῆθεν ἐξαπτομένου ὑπό τινος αἰφνιδίου δαίμονος αὐτὸν μὲν ἀναλίσκεσθαι τῷ πυρὶ τὸν φοίνικα· μετ' οὐ πολὺ δὲ ἐξ αὐτοῦ παραπλήσιον ἀναφύεσθαι σκώληκα, πτεροποιηθέντα δὲ παραχρῆμα ἐπὶ τὸν ἥλιον ἀνίπτασθαι. πράττεται δὲ τοῦτο ἐπὶ τοῦ ἐν Ἡλίου πόλει βωμοῦ κατὰ τὸν Ἀπολλώνιον· τοὐντεῦθεν δὴ τῶν ἐνδοξοτάτων κατὰ τὴν Αἴγυπτον συνελθόντων τινῶν μετέωρος ἀρθεὶς μετὰ παραπομπῆς τῶν ἀθροισθέντων ἄπεισιν ὅθεν ἧκεν.

12. Ὅτι διοσημείας γινομένης παρὰ Ῥωμαίοις deest Rr οὔτε στρατιὰ ἐκινεῖτο οὔτε ἐκκλησία συνετελεῖτο, κἂν εἰ ὀλίγων ψεκάδων ἐπέψαυε κώλυμα.

13. Ὅτι ᾧ τρόπῳ ὁ τοῦ μάγνητος λίθος τὸν Rr IV 11 σίδηρον ἐφ' ἃ κινεῖται διὰ τὴν ἐμφέρειαν τῆς κατὰ τὸν ἀσώματον λόγον ὁμοουσίου δυνάμεως μεταφέρει,

v. 3 μὲν omis. X | ψυχρὸς γὰρ ὁ S, ἐπεὶ καὶ ψυχρὸς H 5 καὶ ἀνέμους omis. H 6 χαλάζη X 7 οἰωνίζονται H 10 εἴς τινα τόπον τῆς ἄνω ἰνδίας, in marg. γρ. εἰς αἴγυπτον S, fortasse: εἰς Αἴγυπτον ἐκ τῆς ἄνω Ἰνδίας 11 φύλλον S, φύλλων scripsi

τούτῳ τῷ τρόπῳ τὰ ἐμφερῆ ἄψυχα τοῖς ἐμφερέσιν S
ἐμψύχοις ὑπακούει μεταφερόμενα. ὅτι δὲ ἐμφερὴς τῷ XS
μάγνητι λίθῳ κατά τινα δύναμιν ὁ σίδηρος εὐμαρὲς
Rr III 20 συνιδεῖν· ὁ γὰρ ἐξ αὐτοῦ μεταλλευθεὶς σίδηρος οὐδὲν XYS
ἧττον τὸν ἐξ ἄλλης ὕλης μεταλλευθέντα σίδηρον εἰς
ὃ κινεῖται μεταφέρει, πλὴν εἰ μὴ χυλῷ κρομμύων ἀλιφῇ, XS
ὡς τοῖς φυσικοῖς δοκεῖ. αὖθις δὲ τραγείῳ αἵματι χριό-
μενος ὁ μάγνης τὴν ἑλκτικὴν ἀναδέχεται δύναμιν.

IV 12 14. Ἡ γένεσις τοῦ πιπέρεως κατὰ τοὺς παλαιοὺς R
καὶ Κτησίαν τὸν Κνίδιον τοιαύτη· ἔθνος ἐστὶ κατὰ
τὴν Ἀζούμην, Βησσάδαι τοὔνομα, σώμασι σμικροῖς καὶ
ἀδρανεστάτοις κεχρημένοι, κεφαλαῖς μεγάλαις καὶ ἀκάρ-
τοις καὶ παρὰ τὴν Ἰνδῶν φύσιν ἀπλόθριξιν· σπηλαίοις
δὲ ἐνοικοῦσιν ὑπογείοις καὶ κρημνοβατεῖν ἐπιστάμενοι
διὰ τὴν τοῦ τόπου συντροφίαν. οὗτοι ἀπὸ δενδρυ-
φίων κολοβῶν ταῖς θάμνοις παραφυομένων τὸ πέπερι
δρεπόμενοι συνάγουσιν. ὁ δὲ Μάξιμός φησι· 'φυτόν XR
ἐστι ἐν τῇ Ἰνδίᾳ πρῶτον μὲν ἀνάκανθον, φυτουρ-
γούμενον δὲ ὡς ἄμπελος ἀναδενδρὰς ἢ ὑπὸ χάρακα,
φέρει δὲ τὸν καρπὸν βοτρυώδη ὡς τερέβινθος, ἔχει δὲ
φύλλον κισσῶδες ὑπόμακρον· φυτευόμενον δὲ τριετὲς

v. 10 Ctesiae fragmentis addendum.

v. 2 ὅτι δὲ ἐμφερὴς (ἐμφερεῖς B) κτλ. X | κατά τινα δύναμιν τῷ μαγνήτῃ ὁ X 4 ὅτι οὐ μόνον ἡ μαγνῆτις ἕλκει τὸν σίδηρον, ἀλλὰ καὶ ὁ ἐξ αὐτῆς μεταλλευθεὶς σίδηρος τὸν ἄλλον σίδηρον Y | ἰδεῖν X | αὐτοῦ] αὐτῆς S 5 ὕλης omis. X 6 ὃ κινεῖται] ὃν μετακινεῖται X | πλὴν εἴκει χυλῶ X 6 ἀλοῇ B, ἀλοιφῇ A, ἀλειφοίη S, ἀλιφῇ Bekker | δὲ omis. B | τραγίω codd. 8 μαγνήτης X § 14 cod. Par. suppl. gr. 607 A (= R) f. 67r 16 τῶ R, τὸ scripsi 17 περὶ τοῦ πεπέρεως ὁ μάξιμός φησι X 18 ἐστι] εἶναι R | ἐν τῇ Ἰνδίᾳ omis. X | πρῶτον μὲν omis. R 19 ἀναδενδρὰς — χάρακα omis. R 20 φέρον A, φέρει BR | δὲ omis. R | τὸν omis. R | ὅμοιον τερεβίνθω X | ἔχει R τὸ X | κισσῶδες R, κισσοειδὲς X

XR ἄρχεται καρποφορεῖν, θνήσκει δὲ ὀκταετές· τρυγηθὲν
δὲ οὐ φρυγόμενον μελαίνεται, ἀλλ' ἐκ τοῦ ἐν τῷ
ἡλίῳ διατίθεσθαι· ὅθεν συμβαίνει τὸ σκιόψυκτον λευκὸν
διαμένειν.

Y 15. Ὅτι ποντίφικες οἱ ἀρχιερεῖς παρὰ Ῥωμαίοις Rr III 21
ἐλέγοντο, καθάπερ ἐν Ἀθήναις τὸ πάλαι γεφυραῖοι
πάντες οἱ περὶ τὰ πάτρια ἱερὰ ἐξηγηταὶ καὶ ἀρχιερεῖς —
διοικηταὶ τῶν ὅλων — ὠνομάζοντο, διὰ τὸ ἐπὶ τῆς
γεφύρας τοῦ Σπερχειοῦ ποταμοῦ ἱερατεύειν τῷ Παλλα-
SY δίῳ. πόντην γὰρ οἱ Ῥωμαῖοι τὴν γέφυραν καλοῦσι,
Y καὶ ποντίλια τὰ γεφυραῖα ξύλα. ὅθεν καὶ πραξιεργίαι
δῆθεν ἐκαλοῦντο ὡσανεὶ τελεσταί. τοῦτο γὰρ σημαίνει
τὸ πόντιφεξ ἀπὸ τοῦ δυνατοῦ ἐν ἔργοις.

X 16. Τῇ πρὸ δέκα ὀκτὼ Καλενδῶν Φεβρουαρίων IV 13
ἀνεμομαχίαν ὁ Βάρρων λέγει γίνεσθαι, Δημόκριτος δὲ
τὸν λίβα μετὰ ὄμβρου φησὶ γίνεσθαι.

XY 17. Οἱ φιλόσοφοί φασι Διοσκόρους εἶναι τὸ ὑπὸ III 22
γῆν καὶ ὑπὲρ γῆν ἡμισφαίριον· τελευτῶσι δὲ ἀμοι-
X βαδὸν μυθικῶς, οἱονεὶ ὑπὸ τοὺς ἀντίποδας ἐξ ἀμοιβῆς
φερόμενοι. οἱ δὲ περὶ Ἐπιμενίδην ἄρρενα καὶ θήλειαν
ἐμύθευσαν τοὺς Διοσκόρους, τὸν μὲν αἰῶνα, ὥσπερ
μονάδα, τὴν δὲ φύσιν, ὡς δυάδα, καλέσαντες· ἐκ γὰρ
μονάδος καὶ δυάδος ὁ πᾶς ζωογονικὸς καὶ ψυχογονικὸς

v. 15 Varro et Democritus Wachsmuth de ost. 295 nr. 2. 20 οἱ περὶ Ἐπιμενίδην cf. Dieterich Abraxas p. 130, 1

v. 1 καρπεύειν *R* | τρυγηθὲν δὲ εἰ μὲν ἐν τῷ ἡλίῳ φρυγῇ, μελαίνεται, εἰ δὲ γένηται σκιόψυκτον λευκαίνεται *R* 3 ὅθεν omis. *B* 5 παρὰ] περὶ *CE* 10 ὅτι πόντην οἱ ῥωμαῖοι — γεφυραῖα ξύλα *S* 15 βάρων *X* | Δημόκριτος — 16 γίνεσθαι omis. *B* 17 ὅτι διοσκούρους φασὶ τὸ ὑπὲρ γῆν καὶ ὑπὸ γῆν ἡμισφαίριον ἀμοιβαδὸν μυθικῶς ζῶντας καὶ τελευτῶντας *Y* 19 ὁμοιβῆς *A* 21 ἐμυθεύσαντο *B*

ἐξεβλάστησεν ἀριθμός. ἰστέον δὲ κατὰ ταύτην τὴν X *ἡμέραν τοὺς ἐρίφους δύεσθαι καὶ τροπὴν γίνεσθαι κατὰ Φίλιππον.*

RrIV14 18. *Πρὸ δεκαπέντε Καλενδῶν Φεβρουαρίων ὁ Δημόκριτος λέγει δύεσθαι τὸν δελφῖνα καὶ τροπὴν ὡς ἐπὶ πολὺ γίνεσθαι.*

πρὸ δεκατριῶν Καλενδῶν Φεβρουαρίων ὁ μὲν Εὐκτήμων τὸν καρκῖνον δύεσθαι, ὁ δὲ Κάλλιππος τὸν ὑδροχόον ἀνίσχειν λέγει, ὃν Δευκαλίωνα Ἵππαρχος καλεῖ . . . βήσσαις καὶ χαράδραις τῶν ὀρῶν.

πρὸ δεκαδύο Καλενδῶν Φεβρουαρίων Εὔδοξος τὸν ὑδροχόον ἀνίσχειν λέγει.

πρὸ δεκαμιᾶς Καλενδῶν Φεβρουαρίων τὸν ἥλιον ἐν ὑδροχόῳ γενέσθαι ὁ Καῖσαρ λέγει, ὁ δὲ Εὔδοξος ἀνίσχειν αὐτὸν καὶ βροχὰς σημαίνειν· τῇ δὲ πρὸ δέκα Καλενδῶν Φεβρουαρίων ὁ Δημόκριτος ἄνεμον λίβα πνεῦσαι λέγει.

III23 19. *Ὅτι Φάβιος ὁ βουλευτὴς κατεδικάσθη ὑπὸ τῆς* Y *βουλῆς, ὅτι παρὰ τὸν διωρισμένον τῷ νόμῳ ἄργυρον ἐδείκνυτο κεκτημένος. οὐδὲ γὰρ ἐφεῖτο παρὰ τὴν ἀξίαν κεκτῆσθαί τινι, ἀλλ' οὐδὲ σηρικῇ χρῆσθαι ἐσθῆτι τοῖς τυχοῦσι, κἂν εὔποροι εἶεν, μόνοις δὲ τοῖς πατρικίοις τοῦτο κατ' ἐξαίρετον ἀνενήνεκτο.*

v. 3 Philippus Wachsmuth de ost. p. 295 nr. 3   5 Democritus ibid. nr. 4   8 Euctemo Callippus Hipparchus ibid. nr. 5   11 Eudoxus ibid. nr. 6   14 Caesar et Eudoxus ibid. nr. 7   16 Democritus ibid. p. 296 nr. 8

§ 18 singuli dies suis versibus distinxit *X*   v. 10 lacunam indicavi   11 *ἔνδοξος B*   13 *φεβρουαρίων* omis. *A* | *ἥλιον ὑδροχόῳ A*, *ἐν* add. A_2 in marg.   18 *βάφιος F*   19 *βουλῆς* cet. des. *D* | *παρὰ*] *περὶ C*

X 20. *Τὸν Δομετιανὸν δεσπότην ἐκάλουν, ἀλλ'* RrIV15
οὐ βασιλέα, διὰ τὸ τυραννικὸν αὐτοῦ.

21. *Τὴν Ἥραν ἔνιοι τῶν φυσικῶν τὸ ὕδωρ εἶναι ἀξι-* 16
οῦσι, τὸν δὲ Δία τὸ πῦρ· μίξει δὲ ὑγρότητος ⟨καὶ θερμότητος⟩ τίκτεσθαι τοὺς καρπούς. ἀλλὰ καὶ Σελήνην αὐτὴν θεολογοῦσιν, οἷα ἐπὶ τῆς ὑγρᾶς οὐσίας τεταγμένην, καὶ τὸν Ἄρεα ἐξ αὐτῆς τεχθῆναι λέγουσιν, ἀντὶ τοῦ ταῖς συνθλίψεσι τῶν νεφελῶν τὸ ἀέριον καὶ δραστικὸν πῦρ· καὶ ταῶνα τὸν ὄρνιθα τοῖς ἱεροῖς τῆς Ἥρας οἱ φυσικοὶ διδόασιν οἱονεὶ τὸν ἀστερωπὸν ἀέρα ἤτοι οὐρανόν.

S 22. *Ὅτι τὴν Ἀθηνᾶν οἱ περὶ τὸν Κίγκιον πνεῦμα* III24,IV17
θεῖον εἶναι βούλονται καὶ ἄφθαρτον· ὅθεν καὶ Ἀθάναν
YS *αὐτὴν παρὰ τὸ ἀθάνατον Εὐριπίδης καλεῖ· ταύτην τε ἐκ τῆς κεφαλῆς τοῦ Διὸς προελθεῖν ὡσανεὶ ἐκ τοῦ οὐρανοῦ· κεφαλὴ γὰρ τοῦ παντὸς κόσμου οὐρανὸς κατὰ*
XYS *τοὺς Δία τὸν ἅπαντα καλοῦντας κόσμον. Τριτογένειαν δὲ αὐτὴν καὶ Τριτωνίδα καλοῦσιν, οὐ διὰ τὴν ἐκ Τρίτωνος κατὰ τοὺς ποιητὰς γένεσιν, ἀλλὰ διὰ τὸ*
S *τρισσὰς εἶναι τὰς τῆς ψυχῆς ἐνεργείας. καὶ οἱ Χαλ-*

v. 14 Euripidis fragmentis addendum 20 cf. Kroll de Or. Chald. p. 47

v. 1 *μετιανόν A*, corr. *A₂* marg. 4 *⟨καὶ θερμότητος⟩* suppl. G. Wissowa 8 *νεφῶν B* 10 *ἀστερωτὸν B* 12 *ὅτι τὴν ἀθηνᾶν* — p. 81, 7 *καταπράττονται S* 12 — p. 81, 8: *οἱ μὲν ἀθηνᾶν τὴν ψυχὴν εἶπον, τριτογένειαν δὲ αὐτὴν διὰ τὸ τρεῖς εἶναι τὰς ἐνεργείας τῆς ψυχῆς· οἱ δὲ ἀθηνᾶν τὸν ἀέρα, τριτογένειαν δὲ αὐτὴν* (*διὰ τὸ — αὐτὴν* omis. *B*)· *διὰ τὸ* (p. 81, 9) *κτλ. X* 12 — p. 81, 5 ita in brevius contracta exhibet *Y*: *ὅτι τὴν ἀθηνᾶν εἰς τὴν ψυχὴν ἀνάγουσιν ὡς ἀθάνατον καὶ παῖδα τοῦ διὸς ἐκ τῆς αὐτοῦ κορυφῆς ἤτοι ἐκ τῆς ἀκρότητος τοῦ οὐρανοῦ κατιοῦσαν καὶ ἁπλῆν δὲ οὖσαν. τριτογένειάν φασιν οὐκ ἀπὸ τοῦ τρίτωνος ποταμοῦ, ἀλλ' ὅτι κατιοῦσα τὸ μὲν θυμικὸν ἐκ τοῦ αἰθέρος* (*ἀέρος F*) *λαμβάνει, τὸ δ' ἐπιθυμητικὸν ἐκ τῆς σεληνιακῆς σειρᾶς· καὶ γὰρ* (p. 81, 5) *κτλ. Y*

δαῖοι δέ φασι τὴν ψυχὴν ἁπλῆν εἶναι καὶ νοερὰν καὶ S λογικήν, προϊοῦσαν δὲ ἐκ τῶν νοητῶν ἐπὶ τὸν αἰσθητὸν κόσμον ἀπὸ μὲν τοῦ αἰθέρος προσλαμβάνειν τὸ θυμικόν· καὶ γὰρ ἐμπύριος ὁ αἰθήρ· ἀπὸ δὲ τῆς σεληνιακῆς σειρᾶς τὸ ἐπιθυμητικόν· καὶ γὰρ ὑγρὰ τὴν φύσιν ἡ YS σελήνη· ὅθεν καὶ αἱ περὶ ἐρώτων μαγγανεῖαι πρὸς τὴν σελήνην οἷα δὴ Ἀφροδίτην ὥς φασι καταπράττονται. οἱ δὲ Ἀθηνᾶν τὸν ἀέρα, Τριτογένειαν δὲ αὐτὴν διὰ τὸ τρισὶ μεταβολαῖς ἀλλοιοῦσθαι τὸν ἀέρα, εἰς ἔαρ δῆλον, θέρος τε καὶ χειμῶνα· γλαυκῶπιν δὲ διὰ τὴν τοῦ ἀέρος ὄψιν ἔγγλαυκον εἶναι. Περσέα δὲ τὸν ἥλιον καὶ Γοργόνα τὴν ἡμέραν ἐκ τοῦ τάχους, οἷον εἰπεῖν, ὅτι διὰ τοῦ ἀέρος ὁ ἥλιος ἀποτρέχων ἀποτέμνει τὰς ἡμέρας, ὑπὸ τῆς Ἀθηνᾶς, οἱονεὶ τῆς προνοίας, τὴν ἅρπην — ἀντὶ τῆς ὀξύτητος — λαβών· καὶ διὰ τοῦτο ἐν τοῖς ὡρολογίοις ἔθος ἐγγλύφεσθαι Γοργόνα ἀντὶ τοῦ τὴν ἡμέραν. ὑγεία ἐστὶν ἡ τῶν ἐναντίων ποιοτήτων κατὰ τὸν σωστικὸν λόγον ἐπικρατοῦσα δύναμις.

RrIV18 23. Οὔλπιος ἐκαλεῖτο ὁ Τραϊανὸς κατὰ τὴν τοῦ πατρὸς προσηγορίαν, Κριντον δὲ αὐτὸν οἱονεὶ εὐπλόκαμον τοῖς Ῥωμαίοις ἐδόκει καλεῖν διὰ τὴν περὶ τὰς τῆς κεφαλῆς αὐτοῦ τρίχας σπουδήν. καὶ τὸ μὲν σῶμα ἦν βραχύς, τὰ δ' ἄλλα ἀγαθὸς τὸν τρόπον ἐν συνασκήσει ὅπλων τε καὶ γυμνασίᾳ σώματος, οὐκ εὐγενοῦς τυγχάνων φαμιλίας· τριβοῦνος γὰρ ἦν πρότερον ἤγουν φύλαρχος. συναισθανόμενος δὲ ὡς ἐραστής ἐστιν ὁ

v. 5 ἡ omis. *D* 6 μαγγανεῖαι πρὸς αὐτὴν γίνονται cet. des. *Y* 14 ἀποτέμνεται *X*, corr. *Sch* 16 ἐν τοῖς] ἐν τῆς *A* 17 γοργόναν *X*, corr. *Sch* 26 φαμηλίας *X*

X *Νερβᾶς . . . . τοῦ ὄντος αὐτῷ προαστείου — καὶ γὰρ ὅμοροι μᾶλλον περὶ τὴν κτῆσιν ἀλλήλων ἐτύγχανον — συγγράψας αὐτίκα δωρεᾶς γραμματεῖον ἐπὶ τῷ προαστείῳ τῷ Νερβᾷ προσεκόμισεν· ὁ δὲ ἀγασθεὶς τὸν Τραϊανὸν εἰς υἱοθεσίαν ἔλαβεν, ἔνθα γίνεται αὐτῷ πάροδος ἐπὶ τὴν βασιλείαν, ἐπεὶ θᾶττον ὁ Νερβᾶς ἐτελεύτα. αἰσθόμενος δέ, ὅτι διεβάλλετο ἐπὶ οἰνο-* XS *φλυγίᾳ, παντελῶς οἰνοποσίας ἀπείχετο. τὸ Ἀδραμύττειον, πόλιν Ἀσίας, ὁ Τραϊανὸς ἔκτισεν λεγομένην ἀπὸ Ἀδραμύττου τοῦ ἀδελφοῦ Κροίσου· ὄνομα δὲ αὐτῇ τὸ πάλαι Ὑποπλάκιοι Θῆβαι.*

X 24. *Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει κύ-* Rr IV 19 *ριος· πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι, οὐδ' ἂν ἔρχησθε ὀφθῆναί μοι· τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε. ἐὰν φέρητε σεμίδαλιν, μάταιον· θυμίαμα βδέλυγμά μοί ἐστι. τὰς νουμηνίας ὑμῶν καὶ τὰ σάββατα καὶ ἡμέραν μεγάλην κλητὴν οὐκ ἀνέχομαι· νηστείαν καὶ ἀργίαν καὶ τὰς νουμηνίας ὑμῶν καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου· ἐγενήθητέ μοι εἰς πλησμονήν.*

v. 12—21 Iesaias I, 11—14.

v. 1 *νέρουας B* | *ὁ καλούμενος A*, *τὸ κεφάλαιον B*, neutrum reponere ausus sum 5 *τρυανὸν A* 7 *διεβάλετο B* 8 *παντελοῦς X*, *παντελῶς* Bekker | *ἀπέχετο B* | *ὅτι ὁ τραιανὸς ἔκτισεν ἐπὶ τῆς ἀσίας τὴν ἀδρυμήτιον λεγομένην πόλιν ἀπὸ ἀδρυμήτου* — 11 *θῆβαι S* 9 *λεγομένην* omis. *X* 12 *τί μοι A*, *ὅτι μοι* A_2 *B* 13 *ὁλοκαυτώματα A*, *ὁλοκαυτωμάτων B* LXX 15 *ἔρχεσθαι B* | *τίογὰρ A* 18 *σάββατα μισεῖ ἡ ψυχή μου καὶ ἡμέραν B* 19 *κλητὴν* deest LXX

Φεβρουάριος. X

RrIV 20 25. Τῷ Φεβρουαρίῳ μηνὶ ἀπὸ Φεβρούας θεᾶς XH Cedren. οὕτω προσαγορευομένης τὸ ὄνομα γέγονεν· Φεβρούαν δὲ θεὰν ἔφορον καὶ καθαρτικὴν τῶν πραγμάτων οἱ Ῥωμαῖοι παρέλαβον. Ἀνύσιος δὲ ἐν τῷ περὶ μηνῶν Φεβροῦον τὸν καταχθόνιον εἶναι τῇ Θούσκων φωνῇ λέγει, θεραπεύεσθαι δὲ πρὸς τῶν Λουπερκῶν ὑπὲρ ἐπιδόσεως τῶν καρπῶν. ὁ δὲ Λαβεὼν ἀπὸ τοῦ πένθους λέγει κληθῆναι τὸν Φεβρουάριον· φέβερ γὰρ παρὰ Ῥωμαίοις τὸ πένθος προσαγορεύεται· κατ' αὐτὸν δὲ τοὺς κατοιχομένους ἐτίμων· ἀλλὰ μὴν καὶ φεβρουᾶρε τὸ καθᾶραι τὰ ποντιφικάλια βιβλία καλεῖ, Φέβρον τὸν Πλούτωνα. ὅτι τὸ ὑπὸ σελήνην δαιμόνιον φῦλον S τριχῇ διῄρηται κατὰ τὸν Ἰάμβλιχον· καὶ τὸ μὲν πρόσγειον αὐτοῦ τιμωρόν, τὸ δὲ ἀέριον καθαρτικόν, τὸ δὲ πρὸς τῇ σεληνιακῇ ζώνῃ σωτήριόν ἐστιν, ὃ δὴ καὶ ἡρωϊκὸν ἴσμεν· ἡγεῖσθαι δὲ λέγεται παντὸς τούτου μέγιστός τις δαίμων· οὗτος δ' ἂν εἴη μᾶλλον ὁ Πλού-

v. 8 Labeo: Kahl Philol. suppl. V 732

v. 2 τῶ φεβρουαρίω — 13 πλούτωνα XH, ὅτι φέβρον τὸν πλούτωνα οἱ ῥωμαῖοι καλοῦσι καὶ φεβρουᾶρε τὸ καθῆραι, καὶ ἀπὸ τούτων δοκεῖ φεβρουάριος ὀνομασθῆναι ὁ μήν, ἐν ὠ τοὺς κατοιχομένους ἐτίμων καὶ ὑπὲρ αὐτῶν ηὔχοντο ἐναγίζοντες S, φεβρουάριος δὲ et lacunam unius versus neque quidquam amplius Y, Georg. Cedren. hist. comp. p. 295, 15: Φεβρούαν θεάν τινα καθαρτικὴν — 12 καθᾶραι 3 γέγονεν] λέγεται τεθῆναι H 4 θεὰν et καὶ omis. X 5 Ἀνύσιος — μηνῶν] ἕτεροι δὲ H 6 εἶναι omis. Cedren. | λέγει] φασὶ H 7 δὲ omis. X, θεραπεύεσθαι — 8 καρπῶν omis. Cedren. 8 τῶν omis. B | ὁ δὲ Λαβεὼν — 9 λέγει] ἕτεροι δὲ — φασι H 9 φεβρ A, φέβους H, φέβρους Cedren., φέβερ B 10 κατ' αὐτόν] ἐν τούτω H | δὲ] γὰρ B 11 ἀλλὰ μὴν omis. Cedr. | φεβρουάραι X, φεβρουᾶραι Cedren., τὸ φεβρουᾶρε H 12 τὰ — καλεῖ] φασὶ καὶ H 13 ὅτι τὸ — p. 84, 1 ιαμβλιχος S

X των, ὥς φησιν ὁ αὐτὸς Ἰάμβλιχος. τὸν Φεβρουάριον μῆνα Ἥρᾳ ἀνατεθῆναι ἀξιοῦσι διὰ τὸ τὴν Ἥραν παρὰ τοῖς φυσικοῖς δοκεῖν εἶναι τὸν ὕπτιον ἀέρα· ὁ δὲ κα- H θαρμὸς ἄντικρυς τῷ ἀέρι ἁρμόδιος. ἐκαθαίροντο δὲ οἱ ναοὶ καὶ τὰ ἱερὰ σκεύη ἐπὶ τούτου τοῦ μηνός· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἰδιωτικῶν πάντες τοῦ καθαρμοῦ ἀντείχοντο. ὅτι δὲ ἐν τῷ Φεβρουαρίῳ αἱ χοαὶ τῶν κατοιχομένων ἐτελοῦντο, διὰ τοῦτο ὁ Νουμᾶς αὐτὸν ἠλάττωσεν, ἀνόσιον εἶναι κρίνων ἴσα τοῖς ἄλλοις τιμᾶσθαι τὸν τοῖς γε τὸ πᾶν ἐλαττοῦσι χθονίοις ἐγ- X κείμενον. οὐ μόνον δὲ Φεβρουάριος ἀλλὰ καὶ Φεβρουάτος λέγεται, διὰ τὴν τούτου ἔφορον καὶ Φεβρουάταν καὶ Φεβρουάλεμ τοῖς ἱεροῖς ἀναφέρεσθαι.

XS 26. Οἱ τῶν Ῥωμαίων τὴν φυσικὴν ἱστορίαν συγ- RrIV 21 γράφοντές φασι, σπέρμα τῇ μήτρᾳ καταβαλλόμενον ἐπὶ μὲν τῆς τρίτης ἡμέρας ἀλλοιοῦσθαι εἰς αἷμα, καὶ πρώτην διαζωγραφεῖν τὴν καρδίαν, ἥτις πρώτη μὲν δια- X πλάττεσθαι, τελευταία δὲ ἀποθνήσκειν λέγεται· εἰ γὰρ ἀρχὴ ἀριθμῶν ὁ τρεῖς, περιττὸς δέ ἐστιν ἀριθμός, ἄρα S καὶ ἀρχὴ γενέσεως ἐξ αὐτοῦ. ἐπὶ δὲ τῆς ἐννάτης πή- XS γνυται καὶ εἰς σάρκα καὶ μυελοὺς συγγλοιοῦται· ἐπὶ δὲ τῆς τεσσαρακοστῆς εἰς ὄψιν τελείαν καὶ διατύπωσιν ἀποτελεῖσθαι καὶ ἁπλῶς εἰπεῖν τέλειον ἄνθρωπον.

v. 1 τὸν φεβρουάριον — 4 ἁρμόδιος *X* 4 ἐκαθαίροντο — 10 ἐγκείμενον *H* 11 οὐ μόνον — 13 ἀναφέρεσθαι *X* | φεβρουατὰν καὶ βεβουαλίμ *B* § 26 continet 'tractatum Splinii', de quo fusius egi in praefatione; codices praeter *XS* adhibui nullos excepto *R* ad p. 85, 1 14 ὅτι τὴν φυσικὴν *B*, οἱ τὴν φυσικὴν *A*, ὅτι κατὰ τοὺς τῶν ῥωμαίων φυσικοὺς τὸ σπέρμα *S* 16 ἀλλοιοῦται *S*, a quo codice in narrando oratio quam vocant directam adhibetur 18 εἰ γὰρ — 20 ἐξ αὐτοῦ omis. *S* 20 ἐπὶ δὲ τῆς — 21 συγγλοιοῦται omis. *X* 23 καὶ ἁπλῶς — ἄνθρωπον omis. *S*

ὁμοίως κατὰ ἀναλογίαν τῶν ἡμερῶν καὶ ἐπὶ μηνῶν· R *ἐπὶ τοῦ τρίτου μηνὸς ἐγκινεῖσθαι ἐχόμενον τῇ μήτρᾳ,* XS *ἐπὶ δὲ τοῦ ἐννάτου μηνὸς παντελῶς ἀπαρτίζεσθαι καὶ πρὸς ἔξοδον σπεύδειν. καὶ εἰ μέν ἐστι θῆλυ, κατὰ τὸν ἔννατον μῆνα, εἰ δὲ κρεῖττον, κατὰ τὸν δέκατον ἀρχόμενον, διὰ τὸ τὸν μὲν ἔννατον ἀριθμόν, θῆλυν* X *ὄντα καὶ Σελήνης οἰκεῖον, πρὸς τὴν ὕλην ἀναφέρεσθαι, τὸν δὲ δέκατον παντέλειον εἶναι καὶ ἄρρενα. θῆλυ δὲ καὶ ἄρρεν γίνεται κατὰ τὴν τοῦ θερμοῦ ἐπικράτειαν· πλεονάζοντος μὲν τοῦ κατὰ τὸ σπέρμα θερμοῦ, ἅτε τῆς* XS *πήξεως ταχείας γινομένης, ἀρρενοῦται τε καὶ διαμορ-* S *φοῦται ταχέως, ἐλαττουμένης δὲ κατισχύεται ὑπὸ τῆς ἐπιρροῆς καὶ καταγωνιζόμενον θηλύνεται, βράδιον δὲ* XS *πηγνύμενον βράδιον καὶ μορφοῦται. ὅτι δὲ ἀληθὴς ὁ λόγος, τὰ μὲν ἄρρενα καὶ τῶν τεσσαράκοντα ἡμερῶν ἐντὸς ἐκτιτρωσκόμενα μεμορφωμένα προπίπτει, τὰ δὲ θήλεα καὶ μετὰ τὰς τεσσαράκοντα ἡμέρας σαρκώδη τε καὶ ἀδιατύπωτα. μετὰ δὲ τὴν κύησιν ἐπὶ τῆς τρίτης τεχθὲν ἀποσπαργανοῦσθαι τὸ βρέφος φασίν, ἐπὶ δὲ τῆς ἐννάτης ἰσχυροποιεῖσθαι καὶ ἀφὴν ὑπομένειν· ἐπὶ δὲ τῆς τεσσαρακοστῆς προσλαμβάνειν τὸ γελαστικὸν καὶ ἄρχεσθαι ἐπιγινώσκειν τὴν μητέρα. ἐπὶ δὲ τῆς ἀναστοιχειώσεως τοὺς ἴσους φασὶν ἀριθμοὺς αὖθις ἐξ*

v. 1 *ὁμοίως* — *μηνῶν* *R* fol. 61[r], omis. *XS* 2 *καὶ ἐπὶ X*, *ἐπὶ δὲ S* | *τοῦ* omis. *X* | *ἐχόμενον S*, *νηχόμενον X*, *ἐνεχόμενον* ci. Gu. Kroll. 3 *ἀμαρτίζειν B*, *ἀπαρτίζειν A*, *ἀπαρτίζεται S*, *ἀπαρτίζεσθαι* scripsi 6 *διὰ τὸ* — 9 *ἐπικράτειαν* omis. *S* 10 *ὅτι πλεονάζοντος* — 18 *ἀδιατύπωτα* post *ἐπιμιμνησκόμενοι* (p. 86, 11) collocat *S* 11 *καὶ διαμορφοῦται* — 13 *ἐπιρροῆς καὶ* desunt *X* 13 *καταγωνιζομένον A* 14 *ἀληθὲς S* | *ὁ λόγος* omis. *S* 16 *ἐκτιτρωσκομένως X* | *προσπίπτει B* 17 *ἡμέρας* omis. *X* 19 *φασίν* omis. *S* 21 *προσλαμβάνει B* | *γελατικόν B* 22 *ἐπιγινώσκον A* | *ἐπὶ γοῦν τῆς S* 23 *φασὶν* omis. *X*

XS ὑποστροφῆς παραφυλάττειν τὴν φύσιν, καὶ δι' ὧν συνέστη, δι' αὐτῶν αὖθις ἀναλύεσθαι. τελευτήσαντος γοῦν ἀνθρώπου, ἐπὶ μὲν τῆς τρίτης ἀλλοιοῦται παντελῶς καὶ τὴν ἐπίγνωσιν τῆς ὄψεως διαπόλλυσι τὸ σῶμα· ἐπὶ δὲ τῆς ἐννάτης διαρρεῖ σύμπαν, ἔτι σωζομένης αὐτῷ τῆς καρδίας· ἐπὶ δὲ τῆς τεσσαρακοστῆς καὶ αὕτη συναπόλλυται τῷ παντί. διὰ τοῦτο τρίτην ἐννάτην καὶ τεσσαρακοστὴν ἐπὶ τῶν τεθνηκότων φυλάττουσιν οἱ ἐναγίζοντες αὐτοῖς, τῆς τέ ποτε συστάσεως τῆς τε μετ' ἐκείνην ἐπιδόσεως καὶ τὸ δὴ πέρας τῆς ἀναλύσεως ἐπιμιμνησκόμενοι.

S 27. Ὅτι Γάλλων παραλαβόντων τὴν Ῥώμην ὁ Κά- Rr IV 22
μιλλος συναγείρας πλῆθος ἀθρόον ἐμπίπτει τοῖς πολεμίοις· καὶ μάχης κρατερᾶς γενομένης κλασθέντων αὐτοῖς τῶν ξιφῶν σὺν καὶ τοῖς ὅπλοις — οὔπω γὰρ σιδηροῖς ἐχρῶντο Ῥωμαῖοι θώραξι, χαλκοῖς δὲ κατὰ τὴν παλαιότητα — τὸ λοιπὸν εἰς χεῖρας ἐλθεῖν ἕλκειν τε
SX ἀλλήλους ἔκ τε τῶν λοφιῶν τῶν περικεφαλαιῶν καὶ ἐξ
S αὐτῶν μέντοι τῶν τοῦ πώγωνος τριχῶν· τέλος δὲ τοὺς βαρβάρους ἀπήλασε καὶ Ῥώμην ἐρρύσατο καὶ δεύτερος Ῥωμύλος ὠνομάσθη. καὶ οὕτως ἀποκείρειν τε τοὺς πώγωνας ἐπ' ἄκρον καὶ σιδηροῦς τοὺς θώρακας κατασκευάζειν τέτακται καὶ ἄνευ λοφιῶν τὰς περικεφαλαίας ἔχειν.

X Cedren. 28. .... ἐν τῇ πρὸς δῆμον ὁρατίωνι οἱονεὶ προσ- 23

v. 3 γὰρ *S*, γοῦν *X* 5 ἔτι omis. *S* 7 παντὶ καὶ διὰ *S* | τρίτα καὶ ἔννατα καὶ τεσσαρακοστά *S*, τρίτη ἐνάτη *A* 8 τεθνηκότον *A* 9 ἐναγιόζοντες *A* | αὐτοῖς omis. *S* | τῆς omis. *X* 11 ἐπιμιμνησκόμενος *B* 12 ὁ κάμιλλος ὥρισεν ἀποκείρειν τοὺς πώγωνας ἐπ' ἄκρον, ὡς μὴ δράττεσθαι αὐτῶν τοὺς ἐναντίους διὰ τὴν συμβᾶσαν πρότερον μάχην, ἐν ᾗ εἷλκον ἀλλήλους (18) — 19 τριχῶν *X* § 28 praeter *X* habet Cedren. hist. comp. p. 296, 9 Bonn. 25 ὁρατίονι *X* | ἐν τῇ — προσφωνήσει] ὁρατίων ἡ προσφώνησις post ἐστὶν p. 87, 1 collocata exhibet Cedren.

φωνήσει. ὅτι σπαθάριος ὁ σωματοφύλαξ ἐστίν, καὶ Cedren. φαυρικίσιοι οἱ τῶν ὅπλων δημιουργοί.

RrIV 24 29. Εἰδοῖς Φεβρουαρίαις· ἀπὸ ταύτης τῆς ἡμέρας X ἀπὸ ὥρας ἕκτης διὰ τὰς τῶν κατοιχομένων χοὰς τὰ ἱερὰ κατησφαλίζοντο, καὶ οἱ ἄρχοντες ἐν σχήματι ἰδιωτῶν προήεσαν ἄχρι τῆς πρὸ ὀκτὼ Καλενδῶν Μαρτίων. αἱ δὲ σώφρονες γυναῖκες — ματρώνας δὲ αὐτὰς οἱ X Cedren. Ῥωμαῖοι καλοῦσιν, οἱ δὲ Ἕλληνες οἰκοδεσποίνας — τοσοῦτον τῆς αἰδοῦς ἐφρόντιζον, ὡς μηδὲ ταῖς πολλαῖς τῶν γυναικῶν ὁμιλεῖν, ἀλλὰ καὶ τόπους τινὰς ἡσυχίους ἐν τοῖς βαλανείοις ἔξω τοῦ πλήθους ἑαυταῖς ἀφορίζειν, οὓς ἔτι καὶ νῦν ματρωνίκια καλοῦσιν. αὗται τοίνυν X αἱ σώφρονες τοῖς Βρούτου δαίμοσιν ἐνήγιζον δι' αἰτίαν τοιαύτην· Λουκρητία, γυνή τις Ῥωμαία περιττῶς εὐπρεπής τε καὶ σώφρων, λέγεται βιασθῆναί ποτε ὑπὸ Ταρκυνίου τοῦ τελευταίου τῶν ῥηγῶν ἢ τοῦ αὐτοῦ παιδός· Σούπερβον δὲ αὐτὸν ἡ ἱστορία καλεῖ οἱονεὶ ἀλαζόνα· πρῶτος γὰρ αὐτὸς ὄργανα ποινῶν καὶ μέταλλα ἐξεῦρεν· ὅπως δὲ μὴ μαλάττοιτο τοῖς αἰκισμοῖς τῶν τιμωρουμένων, βοτάνην αὐτοῖς ἐπεδίδου, ἣ γέλωτα ἐνεποίει παρὰ σκοπὸν τοῖς πάσχουσι. γίνεται δὲ καὶ νῦν ἐπὶ Σαρδοῦς τῆς νήσου ἡ τοιαύτη βοτάνη, ὅθεν καὶ Σαρδόνιον γέλωτά φασιν. ἔνθεν τὸν Ταρκύνιον Σούπερβον ἀντὶ τοῦ ἀπηνῆ καὶ ὠμὸν ἐκάλουν· οὐδὲν δὲ ἂν τέκοι μῖσος ὡς ταῦτα. ἐκείνη τοίνυν ἡ Λουκρητία, κρείττονα τὴν σωφροσύνην τῆς βασιλικῆς ὁμι-

v. 1 ὅτι — 2 δημιουργοί omis. X 4 τῶν omis. B 7 αἱ δὲ] δὲ omis. B | ὅτι Ῥωμαῖοι τὰς σώφρονας γυναῖκας ματρώνας ἐκάλουν, οἱ δὲ Ἕλληνες οἰκοδεσποίνας, αἳ τοιοῦτον — 12 ματρωνίκια καλοῦσιν Georg. Cedren. hist. comp. p. 296, 11 Bonn. 17 δὲ omis. B

XS ὑποστροφῆς παραφυλάττειν τὴν φύσιν, καὶ δι' ὧν συνέστη, δι' αὐτῶν αὖθις ἀναλύεσθαι. τελευτήσαντος γοῦν ἀνθρώπου, ἐπὶ μὲν τῆς τρίτης ἀλλοιοῦται παντελῶς καὶ τὴν ἐπίγνωσιν τῆς ὄψεως διαπόλλυσι τὸ σῶμα· ἐπὶ δὲ τῆς ἐννάτης διαρρεῖ σύμπαν, ἔτι σωζομένης αὐτῷ τῆς καρδίας· ἐπὶ δὲ τῆς τεσσαρακοστῆς καὶ αὕτη συναπόλλυται τῷ παντί. διὰ τοῦτο τρίτην ἐννάτην καὶ τεσσαρακοστὴν ἐπὶ τῶν τεθνηκότων φυλάττουσιν οἱ ἐναγίζοντες αὐτοῖς, τῆς τέ ποτε συστάσεως τῆς τε μετ' ἐκείνην ἐπιδόσεως καὶ τὸ δὴ πέρας τῆς ἀναλύσεως ἐπιμιμνησκόμενοι.

S 27. Ὅτι Γάλλων παραλαβόντων τὴν Ῥώμην ὁ Κά- RrIV 22
μιλλος συναγείρας πλῆθος ἀθρόον ἐμπίπτει τοῖς πολεμίοις· καὶ μάχης κρατερᾶς γενομένης κλασθέντων αὐτοῖς τῶν ξιφῶν σὺν καὶ τοῖς ὅπλοις — οὔπω γὰρ σιδηροῖς ἐχρῶντο Ῥωμαῖοι θώραξι, χαλκοῖς δὲ κατὰ τὴν παλαιότητα — τὸ λοιπὸν εἰς χεῖρας ἐλθεῖν ἕλκειν τε
SX ἀλλήλους ἔκ τε τῶν λοφιῶν τῶν περικεφαλαιῶν καὶ ἐξ
S αὐτῶν μέντοι τῶν τοῦ πώγωνος τριχῶν· τέλος δὲ τοὺς βαρβάρους ἀπήλασε καὶ Ῥώμην ἐρρύσατο καὶ δεύτερος Ῥωμύλος ὠνομάσθη. καὶ οὕτως ἀποκείρειν τε τοὺς πώγωνας ἐπ' ἄκρου καὶ σιδηροῦς τοὺς θώρακας κατασκευάζειν τέτακται καὶ ἄνευ λοφιῶν τὰς περικεφαλαίας ἔχειν.

X Cedren. 28. .... ἐν τῇ πρὸς δῆμον ὁρατίωνι οἱονεὶ προσ- 23

v. 3 γὰρ *S*, γοῦν *X* 5 ἔτι omis. *S* 7 παντὶ καὶ διὰ *S* | τρίτα καὶ ἔννατα καὶ τεσσαρακοστά *S*, τρίτη ἐνάτη *A* 8 τεθνηκότον *A* 9 ἐναγιόζοντες *A* | αὐτοῖς omis. *S* | τῆς omis. *X* 11 ἐπιμιμνησκόμενος *B* 12 ὁ κάμιλλος ὥρισεν ἀποκείρειν τοὺς πώγωνας ἐπ' ἄκρον, ὡς μὴ δράττεσθαι αὐτῶν τοὺς ἐναντίους διὰ τὴν συμβᾶσαν πρότερον μάχην, ἐν ᾗ εἷλκον ἀλλήλους (18) — 19 τριχῶν *X* § 28 praeter *X* habet Cedren. hist. comp. p. 296, 9 Bonn. 25 ὁρατίονι *X* | ἐν τῇ — προσφωνήσει] ὁρατίων ἡ προσφώνησις post ἐστὶν p. 87, 1 collocata exhibet Cedren.

φωνήσει. ὅτι σπαθάριος ὁ σωματοφύλαξ ἐστίν, καὶ Cedren. *φαυρικίσιοι οἱ τῶν ὅπλων δημιουργοί.*

RrIV24 29. *Εἰδοῖς Φεβρουαρίαις· ἀπὸ ταύτης τῆς ἡμέρας* X *ἀπὸ ὥρας ἕκτης διὰ τὰς τῶν κατοιχομένων χοὰς τὰ ἱερὰ κατησφαλίζοντο, καὶ οἱ ἄρχοντες ἐν σχήματι ἰδιωτῶν προήεσαν ἄχρι τῆς πρὸ ὀκτὼ Καλενδῶν Μαρτίων. αἱ δὲ σώφρονες γυναῖκες — ματρώνας δὲ αὐτὰς οἱ* X Cedren. *Ῥωμαῖοι καλοῦσιν, οἱ δὲ Ἕλληνες οἰκοδεσποίνας — τοσοῦτον τῆς αἰδοῦς ἐφρόντιζον, ὡς μηδὲ ταῖς πολλαῖς τῶν γυναικῶν ὁμιλεῖν, ἀλλὰ καὶ τόπους τινὰς ἡσυχίους ἐν τοῖς βαλανείοις ἔξω τοῦ πλήθους ἑαυταῖς ἀφορίζειν, οὓς ἔτι καὶ νῦν ματρωνίκια καλοῦσιν. αὗται τοίνυν* X *αἱ σώφρονες τοῖς Βρούτου δαίμοσιν ἐνήγιζον δι' αἰτίαν τοιαύτην· Λουκρητία, γυνή τις Ῥωμαία περιττῶς εὐπρεπής τε καὶ σώφρων, λέγεται βιασθῆναί ποτε ὑπὸ Ταρκυνίου τοῦ τελευταίου τῶν ῥηγῶν ἢ τοῦ αὐτοῦ παιδός· Σούπερβον δὲ αὐτὸν ἡ ἱστορία καλεῖ οἱονεὶ ἀλαζόνα· πρῶτος γὰρ αὐτὸς ὄργανα ποινῶν καὶ μέταλλα ἐξεῦρεν· ὅπως δὲ μὴ μαλάττοιτο τοῖς αἰκισμοῖς τῶν τιμωρουμένων, βοτάνην αὐτοῖς ἐπεδίδου, ἣ γέλωτα ἐνεποίει παρὰ σκοπὸν τοῖς πάσχουσι. γίνεται δὲ καὶ νῦν ἐπὶ Σαρδοῦς τῆς νήσου ἡ τοιαύτη βοτάνη, ὅθεν καὶ Σαρδόνιον γέλωτά φασιν. ἔνθεν τὸν Ταρκύνιον Σούπερβον ἀντὶ τοῦ ἀπηνῆ καὶ ὠμὸν ἐκάλουν· οὐδὲν δὲ ἂν τέκοι μῖσος ὡς ταῦτα. ἐκείνη τοίνυν ἡ Λουκρητία, κρείττονα τὴν σωφροσύνην τῆς βασιλικῆς ὁμι-*

v. 1 *ὅτι* — 2 *δημιουργοί* omis. *X* 4 *τῶν* omis. *B* 7 *αἱ δὲ*] *δὲ* omis. *B* | *ὅτι Ῥωμαῖοι τὰς σώφρονας γυναῖκας ματρώνας ἐκάλουν, οἱ δὲ Ἕλληνες οἰκοδεσποίνας, αἳ τοιοῦτον* — 12 *ματρωνίκια καλοῦσιν* Georg. Cedren. hist. comp. p. 296, 11 Bonn. 17 *δὲ* omis. *B*

X *λίας ἡγησαμένη, καὶ οὐκ αὐτῆς μόνης ἀλλὰ καὶ ζωῆς αὐτῆς, μεταπεμψαμένη τοὺς ἑαυτῆς ἀφηγησαμένη τε τήν, εἴγε ἄρα ἐβούλετο, λανθάνειν δυναμένην ἁμαρτίαν, ἑαυτὴν παρόντων τῶν τῆς σωφροσύνης μαρτύρων ἀπέσφαξε. κινεῖται οὖν ὁ δῆμος πρὸς τοῦτο καὶ τὸ μῖσος τοῦ τυράννου προσεποιεῖτο, ... ὃς δραξάμενος καιροῦ ἡγεῖται τοῦ Ῥωμαϊκοῦ δήμου καὶ παρωθεῖται τῆς βασιλείας τὸν Ταρκύνιον. ἐτιμήθη οὖν, ὡς ἐλέγομεν, παρὰ ταῖς Ῥωμαίων γυναιξὶν ὁ Βροῦτος μετὰ θάνατον δημοσίῳ πένθει, οἷα ἔκδικος τῆς σωφροσύνης· καὶ Βρούτας ἑαυτὰς ἠξίουν ὀνομάζεσθαι πρὸς τιμὴν Βρούτου.*

30. *Βέρνακλον τὸν δημόσιον οἰκέτην οἱ Ῥωμαῖοι* Rr IV 25 *καλοῦσιν. ἐπειδὴ εἰς τρεῖς μοίρας ὁ Ῥωμαϊκὸς διῄρητο δῆμος, τρίβους ἡ φυλὴ παρ' αὐτοῖς ὠνομάσθη, καὶ τριβοῦνοι οἱ δήμαρχοι. φροντὶς δὲ ἦν αὐτοῖς τῆς ἱπποδρομίας, ὡς ἐπιτελοῖτο προσηκόντως· καὶ διὰ τοῦτο τριβοῦνος ἔτι καὶ νῦν ἡγεῖται τῶν βολουπτάτων, ἀντὶ* Y *τοῦ τῶν τέρψεων. ὅτι ἀγὼν καὶ ἀγωνία ὁ τόπος λέ-* III 25 *γεται διὰ τὸ κυκλοτερές, παρὰ τὸ μὴ ἔχειν γωνίαν, ἧς εἰς τύπον καὶ στέφανοι κυκλοτερεῖς τοῖς νικῶσιν ἐπετίθεντο. οἱ δὲ τρεῖς ὀβελοὶ τὴν τρίστοιχον φύσιν δηλοῦσιν, ὕδατος πυρὸς γῆς· ἐπ' αὐτῶν γὰρ καὶ μόνων ὁ θάνατος τὴν ἐνέργειαν ἔχει. ὅθεν καὶ τρικάρηνον ὁ μῦθος δίδωσι τῷ Πλούτωνι κύνα, ἀντὶ τοῦ*

v. 1 *καὶ οὐκ*] *καὶ* omis. *B* 6 lacunam statuit *Sch* | *ὃς A*, *ὡς B* 7 *Ῥωμαϊκοῦ* omis. *B* 13 cf. de magistr. I, 44: *δημοσίους δὲ οἰκέτας πρὸς ὑπηρεσίαν εἶχον, οὓς ἐκάλουν βερνάκλους· σημαίνει δὲ τοὔνομα τοὺς οἰκογενεῖς οἰκέτας* 15 *φυλὴ πᾶσα παρ' B* 18 *βολουπτάτων A*, in marg. *ρουσσάτων* A_2 19 *ὅτι ἀγὼν* — p. 89, 3 *ἀγωνίαν ἐπετέλουν Y*, omis. *X* 21 *ἐπιτίθεντο D*

τρίστοιχον· ὁ γὰρ ἀὴρ ζωοποιός ἐστι. διὰ τῶν ὀβε- Y
λῶν οὖν δηλοῦται, ὡς πρὸς τιμὴν τῶν ὑπὲρ πατρίδος
ἀποθνησκόντων τὴν ἀγωνίαν ἐπετέλουν, τριῶν ἁρμά- X
των καὶ οὐ τεττάρων ἁμιλλωμένων ἐπὶ τῆς ἱπποδρο-
μίας· οἱ μὲν ῥουσσάτοι οἱονεὶ ἐρυθροί, οἱ δὲ ἀλβᾶτοι
οἱονεὶ λευκοί, οἱ δὲ βίριδες οἱονεὶ ἀνθηροί, πρασίνους
Rr III 26 δὲ αὐτοὺς νῦν προσαγορεύουσι. καὶ οἱ μὲν ῥουσσάτοι XY
ἠξίουν τοῦ Ἄρεως εἶναι, οἱ δὲ λευκοὶ τοῦ Διός, οἱ δὲ
ἀνθηροὶ τῆς Ἀφροδίτης. ὕστερον δὲ καὶ τὸ βένετον·
βενέτους δὲ αὐτοὺς ἐπιχωρίως καλοῦσι σιδηροβάφους
ἀπὸ τῶν περὶ τὴν Ἀδρίαν Ἐνετῶν τοιαύταις ἐσθῆσι Y
χρωμένων· βένετον δὲ οἱ Ῥωμαῖοι τὸ παρ' ἡμῖν καλ- XY
λάϊνον χρῶμα προσαγορεύουσιν. οἱ Γάλλοι τοίνυν X
ἴδιόν τινα τόπον ἐν τῷ ἱππικῷ θεωροῦντες ἐπλήρουν,
καὶ Βενέτους αὐτοὺς ἐκ τῶν ἐσθημάτων ὠνόμαζον, καὶ
Βενετίαν τὴν χώραν, διὰ τὸ μηδένα ποτὲ κατ' ἐκείνην
εὐπορῆσαι στολῆς. διὰ δὲ τὰ τέσσαρα στοιχεῖα ἐποίη- XY
σαν τέσσαρας τοὺς ἀγῶνας· τὸ ἀνθηρὸν ἀντὶ πυρός, X
εἰς τὴν τῆς Ῥώμης τιμήν — Φλῶραν δὲ αὐτὴν ὠνό-
μαζον, ὥσπερ ἡμεῖς Ἄνθουσαν — δεύτερον τὸ λευκὸν
διὰ τὸν ἀέρα, τρίτην τάξιν Ἄρει, καὶ τετάρτην ἄρτι
προσληφθεῖσαν Κρόνῳ ἢ Ποσειδῶνι· ἑκατέροις γὰρ τὸ
κυανοῦν προσνενέμηται. ῥούσιοι μὲν ἀνέκειντο πυρὶ Y

v. 3 *τριῶν ἁρμάτων* pergit *X* | *ἀγωνίαν ἐπετέλουν. ὅτι οἱ μὲν ῥούσιοι ἄρει ἀνέκειντο, οἱ δὲ λευκοὶ διΐ, οἱ δὲ πράσινοι ἀνθηροὶ* (sic *C*, rell. *ἀνθηροὶ* supra lin.) *ἀφροδίτη, οἱ δὲ βένετοι κρόνω ἢ ποσειδῶνι. βένετοι δὲ ἐκλήθησαν ἀπὸ* (11) *Y* 4 *οὐ* omis. *B* 5 *ῥουσάτοι B* 6 *βίρηδες X*, *βίριδες* scripsi 7 *προσαγορεύομεν B* 10 *ἐπιχωρίους*, in marg. *Cassiodorus B* 11 *ἀπὸ* — 12 *Ῥωμαῖοι* omis. *X* 11 *τὸν ἀδρίαν DF*, *τὸν* in ras. *G* 12 *τὸ γὰρ παρ' ἡμῖν — χρῶμα ῥωμαῖοι βένετον προσαγορεύουσιν X* 13 *οἱ Γάλλοι* — 17 *στολῆς* omis. *Y* 17 *διὰ δὲ τὰ*] *ἢ κατὰ τὰ* (*τὰ* omis. *CDE*) *Y* | *ἐποίησαν* — 23 *προσνενέμηται* omis. *Y* 23 *προνενέμηται A*, cet. des. *X*

Y διὰ τὸ χρῶμα, ὁμοίως πράσινοι γῇ διὰ τὰ ἄνθη, βένετοι Ἥρᾳ, λευκοὶ δὲ ὕδατι. οἱ δέ φασι πράσινον μὲν τὸ ἔαρ, ῥούσιον δὲ τὸ θέρος, βένετον δὲ τὸ φθινόπωρον, λευκὸν δὲ τὸν χειμῶνα. κακοδαιμονίαν οὖν οἰωνίζοντο τὴν χείρονα ψῆφον τὸν ἀνθηρὸν ἀπενέγκασθαι, ὡς αὐτῆς Ῥώμης ἡττηθείσης. τοῦ γὰρ δυτικοῦ κέντρου εἰς τὸ τῆς γῆς στοιχεῖον ἀναφερομένου εἰκὸς ἦν αὐτοῖς μέλειν αὐτῆς. ὅθεν καὶ Ἑστίαν πρὸ πάντων φαίνονται τιμήσαντες Ῥωμαῖοι, ὥσπερ τὸν πετρογενῆ Μίθραν οἱ Πέρσαι διὰ τὸ τοῦ πυρὸς κέντρον, καὶ τὴν ὑγρὰν οὐσίαν οἱ ὑπὸ τὴν Ἄρκτον διὰ τὸ κέντρον τοῦ ὕδατος, καὶ Ἶσιν Αἰγύπτιοι, ἀντὶ τοῦ τὴν Σελήνην, τὴν τοῦ παντὸς ἀέρος ἔφορον.

X 31. Καθάπερ ἐν τῇ μήτρᾳ τυγχάνον τὸ βρέφος οὐ Rr IV 26
δεῖται ἑτέρας τροφῆς, ἀλλ' ἐξ αἵματος εἰλικρινοῦς τρέφεται, οὕτως οὐδὲ τοῖς τελευτήσασι κατὰ τὸν πρότερον, ὡς ἐλέγομεν, ἐνιαυτὸν ἐπεχόαζον, ὥσπερ ἐν μήτρᾳ παρὰ τῇ φύσει λανθάνουσιν. αἱ γὰρ χοαὶ παραψυχή τις εἰσεφέρετο τοῖς εἰδώλοις τῶν τετελευτηκότων, γάλα, αἷμα καὶ οἶνος, καὶ σεμίδαλις, καὶ κόγχος, καὶ ἕτερά τινα. χοὰς δὲ αὐτὰς ὠνόμαζον ἐκ τοῦ ἐπεκχεῖσθαι τοῖς τάφοις. σώζεται δὲ καὶ νῦν ἴχνος· ἐν γὰρ τοῖς ἱεροῖς ἄρτον καὶ οἶνον προσφέρομεν.

S 32. Ὅτι ὁ Αἰγύπτιος Ἑρμῆς ἐν τῷ λόγῳ αὐτοῦ deest Rr

v. 24 Hermes: Ps. Apulei Dialogus c. XXVIII

v. 1 Salmasius in Plinianis exercitationibus in C. Iulii Solini Polyhistora (Traiecti ad Rhenum 1689) huius paragraphi frustula profert passim, qua de re egi in praefatione 2 οἱ δὲ — 4 χειμῶνα in marg. *Y* 8 μέλλειν *D* 9 οἱ ῥωμαῖοι *D* 21 αὐτούς *B*

τῷ καλουμένῳ τελείῳ φησὶ τοὺς μὲν τιμωροὺς τῶν S
δαιμόνων ἐν αὐτῇ τῇ ὕλῃ παρόντας τιμωρεῖσθαι τὸ ἀνθρώπειον κατ' ἀξίαν, τοὺς δὲ καθαρτικοὺς ἐν τῷ ἀέρι πεπηγότας τὰς ψυχὰς μετὰ θάνατον ἀνατρέχειν πειρωμένας ἀποκαθαίρειν περὶ τὰς χαλαζώδεις καὶ πυρώδεις τοῦ ἀέρος ζώνας, ἃς οἱ ποιηταὶ καὶ αὐτὸς ὁ Πλάτων ἐν Φαίδωνι Τάρταρον καὶ Πυριφλεγέθοντα ὀνομάζουσι· τοὺς δὲ σωτηρικοὺς πρὸς τῷ σεληνιακῷ χώρῳ τεταγμένους ἀποσώζειν τὰς ψυχάς.

Μάρτιος. X

deest Rr 33. Τὸν Μάρτιον, καθὰ καὶ τοῦτο προείπομεν, H
ἀρχὴν ἐνιαυτοῦ ἐνόμιζον οἱ Ῥωμαῖοι· ἀνετίθουν δὲ αὐτὸν τῷ Ἄρει· οὗτος δὲ πρότερον Ζεφυρίτης ὠνομάζετο καὶ Πρῖμος· ὁ γὰρ τὴν Ῥώμην κτίσας Ῥῶμος καὶ τέμενος τοῦ Ἄρεος ἐν αὐτῇ τῷ μηνὶ τούτῳ ἀπαρτίσας Μαρτίου αὐτὴν μετωνόμασεν, τουτέστιν Ἄρεος κατὰ τὴν πάτριον ἐκείνου φωνήν.

Rr IV 27 34. Οἱ μυθικοί φασιν· ὁ Ζεὺς συνελθὼν τῇ ἀδελ- X
φῇ Ἥρᾳ ἔτεκεν Ἄρεα, οἱονεὶ ὁ αἰθὴρ συναπτόμενος τῷ ἀέρι ἀποθλίβει τὸ ἀέριον πῦρ. οἱ δὲ φυσικοὶ Ἄρεα μὲν οὐχ ὡς οἱ γραμματικῶν παῖδες ἐκ τῆς ἄρσεως καὶ ἀναιρέσεως αὐτὸν ὀνομασθῆναί φασιν, ἀλλ' ἐκ τοῦ ἀρήγειν καὶ συλλαμβάνειν τοῖς κατὰ βίαν καὶ μάχην συμπτώμασιν, ἢ ὡς ἀρκτικὸν καὶ μεταβολῆς αἴτιον· διδόασι δὲ αὐτῷ ὕψωμα τὸν Αἰγόκερων. ὅτι τὸν Μάρ- Cedren.

v. 7 Plato Phaed. p. 113 B

v. 14 καὶ πρίμος — 17 φωνὴν 'in ima pagina addidit aut eadem aut simillima manus postea diverso atramento' *H*, adnotavit Usener 16 μάρτιος ἀπὸ τοῦ ἄρεως. μάρτεμ γάρ φασι τὸν ἄρην. ἀνάκειται οὖν τῷ ἄρει *Y* 25 αἰγόκερων ἢ ἄρεα τὸν παρ' ἀρρένων — p. 92, 3 μάρνασθαι. ὁ ἄρης χαλκοῦ (p. 92,

Cedren. τεμ οἱ Ῥωμαῖοι μόρτεμ ἐκάλουν, οἱονεὶ θάνατον, ἢ
X Cedren. κινητὴν τῶν τεχνῶν ἢ Ἄρεα τὸν παρ' ἀρρένων καὶ
Cedren. μόνων τιμώμενον ἢ ἐκ τοῦ μάρνασθαι κατὰ Φιλόξενον,
καλεῖται δὲ Αἰγυπτιαστὶ Ἐρτωσί· τοῦτο δὲ σημαίνει
παντὸς γένους ζωογονίαν καὶ πάσης οὐσίας καὶ ὕλης
X κατὰ φύσιν καὶ δύναμιν διατακτικὴν ζωογονικήν. ὁ
Ἄρης χαλκοῦ καὶ σιδήρου εὑρέτης ἐγένετο. τὴν δὲ
Ἀφροδίτην οἱ φυσικοί, ποτὲ μὲν αὐτῷ, ποτὲ δὲ Ἡφαί-
στῳ συνάπτουσιν οἱονεὶ τῇ ὑγρᾷ οὐσίᾳ τὴν πυρώδη,
ἐξ ὑγροῦ δήπουθεν καὶ θερμοῦ προιέναι τὴν γένεσιν
αἰνιττόμενοι· ἢ καί, ἐπειδὴ κοινὸς αὐτοῖς ὁ σκόρπιος,
Ἄρεος μὲν ⟨ὄντος⟩ τοῦ κέντρου, τῶν δὲ χηλῶν Ἀφροδίτης.
ἀποστρέφεται δέ, ὥσπερ κατὰ τὸν μῦθον, Ἀφροδίτη
τὸν Ἄρην, ἐπειδὴ ὁ χειμὼν ἀκολουθεῖ τῷ τοῦ Ἄρεος
ἰδίῳ καταστήματι, ἡ δὲ Ἀφροδίτη εὔκρατος. ὥστε
ἐναντίως ἔχουσι πρὸς ἑαυτούς, ἀλλ' οὐ καθόλου· καὶ
γὰρ ἀλλήλοις κατὰ τὸ τοῦ καιροῦ προσεχὲς συνάπτε-
σθαι δοκοῦσι, μετὰ γὰρ χειμῶνα τὸ ἔαρ ἀναφέρεται.
θεραπεύεται δὲ ὁ Ἄρης ἤχοις ὅπλων καὶ σάλπιγξι, καὶ
διὰ τοῦτο αὐτῷ τὴν πρώτην ἑορτὴν ἐπετέλουν οἱ Ῥω-
μαῖοι, καλοῦντες αὐτὴν Ἀρμιλούστριον οἱονεὶ καθαρ-
μὸν ὅπλων, μὴ χείματος μὴ ἑτέρας τινὸς περιστάσεως
εἰργούσης τὴν κίνησιν τῶν ὅπλων ἐπὶ τῷ τοῦ Ἄρεος
πεδίῳ· ὄνομα δὲ αὐτῷ κατ' Αἰγυπτίους Πυρόεις, ὅθεν
καὶ Ξανθικὸς παρὰ Μακεδόσιν· Ἕλληνες δὲ αὐτόν, ὡς
εἴρηται, Ἄρεα ἐκ τῶν πραγμάτων προσηγόρευον. οὐδὲ

7) X, Georg. Cedren. hist. comp. p. 295, 21 Bonn.: ὅτι τὸν Μάρτεμ — p. 92, 2 τῶν τεχνῶν ἢ (Ἄρεα omis.) τὸν παρ' ἀρρένων — 6 ζωογονικήν.

v. 2 Ἄρεα τὸν] ἄρεα τοῦ B 3 μόνων] μόνον B 7 ἐγένετο εὑρέτης B 8 δὲ omis. A 12 ⟨ὄντος⟩ add. Gu. Kroll 23 τοῦ omis. B

γὰρ ἄν τις εὕρῃ κυρίαν θεοῦ προσηγορίαν κατὰ τὸν X 'Απολλόδωρον, ἀλλ' οὐδὲ φύσεως γνώρισμα, ἐπεὶ νῦν μὲν ἄρρενας, νῦν δὲ θηλείας τὰς ἰδέας εἰσάγουσιν οἱ φιλοσοφοῦντες· ἀλλ' ἐκ τῶν ἀποτελεσμάτων ὀνομασίας αὐτοῖς ἔθεντο, ἄρρενας μὲν θεοὺς ⟨τὰς⟩ δημιουργικὰς δυνάμεις, θηλείας δὲ τὰς ζωογόνους εἰσάγοντες.

deest Rr 35. Ὅτι ἀγαθὸς μάλιστα ὁ Ἄρεος ἀστὴρ καὶ ὁ τοῦ S Κρόνου, εἴγε ἀγαθὰ πάντα καὶ φλαῦρον οὐδὲν κατὰ Πλάτωνα, ἀλλὰ τὴν τούτων θειότητα τὰ ὑπὸ σελήνην μὴ φέροντα φθείρεται, ὥς φησιν Ἰάμβλιχος. ὅτι κακοποιὸν τὸν Ἄρην οἱ ἀστρολόγοι φασίν, οὐχ ὅτι τοιοῦτος τὴν φύσιν, ἀλλ' ἐπειδὴ κατιούσαις ταῖς ψυχαῖς ἐπὶ τὴν γένεσιν τῷ τῆς δίκης νόμῳ παρέπεται, κατ' ἀξίαν πράττων ἐπ' αὐταῖς τὰ δίκαια· ἀγαθὸς δὲ ἄρα ὁ τῇ δίκῃ συμμαχῶν. ὅτι πρὸς τοῦ Διαδόχου Πρόκλου ἔστι μαθεῖν, ὅτι οὐκ ἐν ὑπάρξει οὐδὲ οὐσίᾳ τὸ κακόν, λέγοντος ὅτι οὐδὲ εἶναι τὸ κακόν ἐστι δυνατόν, μήτε ἐναντίον φανταζόμενον ὡς ἀγαθόν. ὅτι τοῦ ἀγαθοῦ ἕνεκα καὶ αὐτὸ τὸ κακόν· ἀλλὰ πάντα γε ἕνεκα τοῦ ἀγαθοῦ· καὶ τὸ θεῖον ἀναίτιον τοῦ κακοῦ· οὐ γὰρ τὸ κακὸν εἴη κακὸν ἐκεῖθεν, ἀλλ' ἐξ ἄλλων αἰτίων, καὶ οἷς τὸ γεννᾶν οὐ κατὰ δύναμιν ἀλλὰ κατ' ἀσθένειαν ὑπάρχει· διό μοι δοκεῖ καὶ ὁ Πλάτων περὶ τὸν πάντων βασιλέα τὰ πάντα θέμενος, καὶ αὐτὸ διδοὺς εἶναι τὸ κακὸν ὥσπερ ἀγαθὸν φανταζόμενον· εἰ γὰρ αὐτὸ τῶν ὄντων ἐστίν, οὕτω τε ἂν αὐτὸ ἁπάντων αἴ-

v. 2 Apollodor. frg. 29 FHG I 433. IV 649 8 Plato Tim. p. 30 A 23 Plato Tim. p. 29 E sq.

v. 5 ⟨τὰς⟩ add. Gu. Kroll 6 εἰπάγοντες, corr. εἰσ- *A* 8 ἀγαθὰ μὲν πάντα, φλαῦρον δὲ μηδέν Plato l. s. 19 τε *S*, γε ci. A. Dieterich

S τιον προσειπεῖν χρεών· καὶ οὐχ ἁπλῶς ἁπάντων οὐδὲ τῶν κακῶν, ἀλλὰ καὶ τούτων ἀναίτιον καὶ παντὸς τοῦ ὄντος αἴτιον· ὥστε οὐ ποιοῦσιν οἱ θεοὶ τὸ κακόν, ἀλλ' X S ὡς ἀγαθόν, καὶ ἀναιροῦσιν αὐτὸ ὡς κακόν. ὅρος Rr IV 28 γάρ ἐστι κακοῦ οὐκ οὐσία ζῶσα καὶ ἔμψυχος ἀλλὰ διάθεσις ἐν ψυχῇ ἐναντίως ἔχουσα πρὸς ἀρετὴν διὰ τὴν τοῦ καλοῦ ἀπόπτωσιν ταῖς ῥαθυμίαις ἐγγινομένη. S λάβοι οὖν ἄν τις εὐσεβῶς καὶ τοὺς λεγομένους κακοποιοὺς τῶν πλανήτων, οὐκ ὄντας μὲν τοιούτους τὴν φύσιν, συντελοῦντας δὲ εἰς τὴν τοῦ παντὸς διοίκησιν· εἰ γὰρ ψύχει μὲν ὁ Κρόνος, ὁ δὲ Ἄρης θερμαίνει, ἄρα συντελοῦσι τῇ γενέσει, καὶ καθ' ἑαυτὰ μὲν φθαρτικά ἐστι, κιρνώμενα δὲ σωτήρια.

36. Ὅτι ὁ Πτολεμαῖος ἐν τῇ ἁρμονικῇ· ὡρισμένοι, deest Rr φησίν, εἰσὶν οἱ ἀριθμοί, δι' ὧν ἐν πᾶσι τοῖς πρὸς ἄλληλα συμβαίνουσι καὶ ἁρμοζομένοις ὁμολόγος γίνεται συμφωνία· καὶ οὐδ' ὁτιοῦν δύναταί τινι, εἰ μὴ διὰ τούτων τῶν ἀριθμῶν συνελθεῖν. εἰσὶ δ' οὗτοι· ἐπίτριτος ἡμιόλιος σπονδεῖος διπλάσιος τριπλάσιος τετραπλάσιος.

37. Ὅτι τὸ μὲν αἰσθητὸν ἐξ ἡλίου, τὸ δὲ φυσικὸν deest Rr ἐκ τῆς σεληνιακῆς σφαίρας πρὸς ἡμᾶς παραγίνεται, καὶ τῇ τῶν φώτων ἑκατέρων εὐποιΐᾳ κατ' ἐξαίρετον ἥδε συνέστηκεν ἡμῖν ἡ ζωὴ ἢ μέντοι ἡμετέρα ἀναστροφή. καὶ αἱ τῶν πράξεων προκοπαὶ τοῦτο μὲν πρὸς τὰ δύο ταυτὶ φῶτα, τοῦτο δὲ καὶ πρὸς τοὺς πέντε πλάνητας ἀναφέρονται· ἀλλὰ τούτων τῶν ἀστέρων ἄλλους μὲν

v. 14 Ptolemaei eadem verba in Harmonicis non leguntur, similia saepe, e. g. II, 9 ed. Wallis

v. 4 ὅρος — 7 ἐγγινομένη *X* 5 γὰρ omis. *B* 7 ἐγγινομένην *AS*

ἡ μεσιτεία τῶν ἀνωτέρω μνημονευθέντων ἀριθμῶν καλῶς μετὰ τῶν φώτων ἑνοῖ καὶ συνάπτει. ἄλλος δὲ οὐδεὶς ἀριθμοῦ σύνδεσμος συμβιβάζει μετὰ τῶν φώτων· οὐκοῦν οἱ μὲν τῆς Ἀφροδίτης καὶ τοῦ Διὸς ἀστέρες διὰ τούτων τῶν ἀριθμῶν ἑκατέρῳ τῶν φώτων συνάπτονται, ἀλλ' ὁ μὲν τοῦ Διὸς τῷ ἡλίῳ διὰ πάντων, τῇ δὲ σελήνῃ διὰ πλειόνων, ὁ δὲ τῆς Ἀφροδίτης τῇ μὲν σελήνῃ διὰ πάντων, τῷ δ' ἡλίῳ διὰ πλειόνων ἁρμόζεται ἀριθμῶν. ἐντεῦθεν εἰ καὶ τὰ μάλιστα τούτων ἑκάτερον ἀγαθοποιόν, ὁ τοῦ Διὸς ὅμως ἀστὴρ σὺν ἡλίῳ λυσιτελέστερός ἐστι, καὶ ὁ τῆς Ἀφροδίτης σὺν τῇ σελήνῃ· οἱ δὲ τοῦ Κρόνου καὶ Ἄρεος ἀστέρες οὕτως οὐκ ἔχουσι πρὸς τὰ φῶτα σύμβασιν, ὥς τινι μέντοι ἐσχάτῃ ἀριθμῶν ἐμφάσει τὸν μὲν Κρόνον πρὸς τὸν ἥλιον ἀφορᾶν, τὸν δὲ Ἄρην πρὸς τὴν σελήνην. καὶ διὰ ταῦτα ἧττον ὠφέλιμοι τῇ ἀνθρωπίνῃ δοκοῦσι ζωῇ· τί δὲ δήποτε καὶ αὐτοὶ ἔσθ' ὅτε καὶ πλοῦτον καὶ περιφάνειαν τοῖς ἀνθρώποις παρέχειν πιστεύονται, ἑτέρᾳ τοῦτο ἐξετάσει προσήκει. ὅ γε μὴν Πλωτῖνος ἐν βιβλίῳ τῷ ἐπιγραφομένῳ 'ὅπως ποιεῖ τὰ ἄστρα' περὶ τούτου ἀποφαινόμενός φησι, μηδὲν ἢ δυνάμει ἢ ἐξουσίᾳ τούτων τοῖς ἀνθρώποις συμβαίνειν, ἀλλ' ἅπερ ἡ τῆς θείας οἰκονομίας ἀνάγκη ἑκάστοις ἐκύρωσεν, οὕτω διὰ τοῦ τῶν ἑπτὰ τούτων προποδισμοῦ ἢ στηριγμοῦ ἢ ὑποποδισμοῦ δείκνυσθαι, ὥσπερ καὶ οἰωνοὶ ἤτοι περιπτάμενοι ἢ ἀτρεμοῦντες τὰ μέλλοντα ταῖς πτέρυξιν ἢ ταῖς φωναῖς σημαίνουσιν εἰδότες. τοῦ Πλωτίνου ἐκ

v. 19 cf. Plotin. Enn. II, 3 περὶ τοῦ εἰ ποιεῖ τὰ ἄστρα § 3 extr. 27 Plot. Enn. II, 3, 8

v. 9 ἑκατέρων *S*, corr. Gu. Kroll 13 μέντοι ἢ ἐσχάτῃ *S*, ἢ del. Gu. Kroll

8 τοῦ αὐτοῦ λόγου· ‘σημαίνει — ἤγουν τὰ ἄστρα — μὲν οὖν πάντα ὅσα ἐν αἰσθητῷ, ποιεῖ δὲ ἄλλα, ὅσα φανερῶς ποιεῖ· ἡμεῖς δὲ ψυχῆς ἔργα κατὰ φύσιν ποιοῦμεν, ἕως μὴ ἐσφάλημεν ἐν τῷ πλήθει τοῦ παντός· σφαλέντες δὲ ἔχομεν δίκην.’

38. Ὅτι ὡς αὐτός φησι Πλωτῖνος· ‘Πλάτωνι δὲ ὁ deest Rr ἀτρακτός ἐστι τό τε πλανώμενον καὶ τὸ ἀπλανὲς τῆς περιφορᾶς· καὶ αἱ Μοῖραι δὲ καὶ ἡ Ἀνάγκη μήτηρ οὖσα στρέφουσι καὶ ἐν τῇ γενέσει ἑκάστου ἐπικλώθουσι καὶ δι’ αὐτῆς εἶσιν εἰς γένεσιν τὰ γεννώμενα· ἔν τε Τιμαίῳ θεὸς μὲν ὁ ποιήσας τὴν ἀρχὴν τῆς ψυχῆς δίδωσιν· οἱ δὲ φερόμενοι θεοὶ τὰ δεινὰ καὶ ἀναγκαῖα πάθη, θυμοὺς καὶ ἐπιθυμίας, καὶ ἡδονὰς καὶ λύπας αὖ, καὶ ψυχῆς ἄλλο εἶδος, ἀφ’ οὗ τὰ παθήματα ταυτί. οὗτοι γὰρ οἱ λόγοι συνδέουσιν ἡμᾶς τοῖς ἄστροις, παρ’ αὐτῶν ψυχὴν κομιζομένους καὶ ὑποτάττουσι τῇ ἀνάγκῃ ἐνταῦθα ἰόντας· καὶ ἤθη τοίνυν παρ’ αὐτῶν καὶ κατὰ τὰ ἤθη πράξεις, καὶ πάθη ἀπὸ ἕξεως παθητικῆς οὔσης· ὥστε τί λοιπὸν ἡμεῖς, ἢ ὅπερ ἐσμὲν κατ’ ἀλήθειαν ἡμεῖς, οἷς καὶ κρατεῖν τῶν παθῶν ἔδωκεν ἡ φύσις· καὶ γὰρ ὅμως ἐν τούτοις τοῖς κακοῖς διὰ τοῦ σώματος ἀπειλημμένοις ἀδέσποτον ἀρετὴν θεὸς ἔδωκεν. οὐ γὰρ ἐν ἡσύχῳ οὖσιν ἀρετῆς δεῖ ἡμῖν, ἀλλ’ ὅταν κίνδυνος ἐν κακοῖς εἶναι ἀρετῆς οὐ παρούσης. διὸ καὶ φεύγειν ἐντεῦθεν δεῖ καὶ χωρίζειν αὐτοὺς ἀπὸ τῶν προσγεγενημένων καὶ μὴ τὸ σύνθετον εἶναι σῶμα ἐψυχωμένον,

v. 6 Plot. Enn. II, 3, 9 sq. Plato Rep. X p. 617 sqq. 11 Plat. Tim. p. 30 B

v. 10 *ἐν δὲ Τιμαίῳ* Plot. 16 *κομιζομένην S*, *κομιζομένους* correxi ad Plotini codicum fidem 21 *διὰ τὴν τοῦ σώματος* codices Plotini, e quibus post *σώματος* addit *φύσιν* Par. gr. 1816

ἐν ᾧ κρατεῖ μᾶλλον ἡ σώματος φύσις ψυχῆς τι ἴχνος λαβοῦσα, ὡς τὴν ζωὴν τὴν κοινὴν μᾶλλον τοῦ σώματος εἶναι. πάντα γὰρ σωματικὰ ὅλα ταύτης, τῆς δὲ ἑτέρας τῆς ἔξω ἡ πρὸς τὸ ἄνω φορὰ καὶ τὸ καλὸν καὶ τὸ θεῖον, ὧν οὐδεὶς κρατεῖ, ἀλλ' ἢ προσχρῆται, ἵν' ᾖ ἐκεῖνο καὶ κατὰ τοῦτο ζῇ ἀναχωρήσας, ἢ ἔρημος ταύτης τῆς ψυχῆς γενόμενος ζῇ ἐν εἱμαρμένῃ· καὶ ἐνταῦθα τὰ ἄστρα αὐτῷ οὐ μόνον σημαίνει, ἀλλὰ καὶ γίνεται αὐτὸς οἷον μέρος καὶ τῷ ὅλῳ συνέπεται, οὗ μέρος. διττὸς γὰρ ἕκαστος· ὁ μὲν τὸ συναμφότερόν τι, ὁ δὲ αὐτὸς καὶ πᾶς ὁ κόσμος δέ, ὁ μὲν τὸ ἐκ σώματος καὶ ψυχῆς τινος δεθείσης σώματι, ὁ δὲ ἡ τοῦ παντὸς ψυχὴ ἡ μὴ ἐν σώματι, ἐλλάμπουσα δὲ ἴχνη τῇ ἐν σώματι, καὶ ἥλιος δὴ καὶ τἄλλα διττὰ οὕτω'. S

deestRr 39. Ὅτι ἐπειδὴ τόδε τὸ πᾶν ἀρρήτῳ τέχνῃ πεποίκιλται ἁρμονίας τε πλῆρες εὐδαίμονός ἐστιν, ἀνάγκη δήπουθεν ἐξ ὀξέων καὶ βαρέων, προσηνῶν τε καὶ αὐστηρῶν φθόγγων καὶ ῥυθμῶν καὶ τόνων, ἵν' οὕτως εἴπω, συνηρμόσθαι τὴν φύσιν.

RrIII 27 40. Ὅτι οἱ παλαιοὶ μετὰ τελευτὴν ἔκαιον τὰ σώματα, συναποθεοῦντες ὥσπερ τῇ ψυχῇ καὶ τὸ σῶμα· καθάπερ γὰρ ἐκείνη πυρώδης τὴν φύσιν καὶ πρὸς τὰ ἄνω σπεύδουσα, οὕτω βαρὺ τὸ σῶμα καὶ ψυχρὸν καὶ πρὸς τὰ κάτω ῥέπον. ἐδόκουν τοίνυν καὶ αὐτὸ τὸ εἴδωλον ἐκκαθαίρειν τοῦ σώματος τῇ τοῦ πυρὸς ἁγιστείᾳ· οὐ γὰρ ἀληθὴς ὁ λόγος ὁ κατὰ τὸν Ἀναξίμαν- YS S

v. 26 Anaximander: an potius Heraclitus? cf. Diels Doxogr. gr. 283ᵃ 16

v. 3 ὅλα] ὅσα Plot. 8 καὶ omis. Plot. 12 δεθεὶς *S*, δεθείσης correxi ad Plotini codicum lectionem 14 τὰ ἄλλα Plot. 20 ὅτι τὰ τῶν νεκρῶν σώματα ἔκαιον οἱ παλαιοὶ συνεξαιθεροῦντες αὐτὰ τῇ ψυχῇ *Y*

S δρον, ὅς ἐκ τοῦ πυρὸς εἶναι τόδε τὸ πᾶν ἀπεφήνατο, καὶ διὰ τοῦτο πυρὶ παραδοθῆναι πρὸς τῶν ἀρχαίων τὰ σώματα· ἢ κατὰ τοὺς Στωϊκούς, οἳ καθολικὴν ἐκπύρωσιν ἀναμένοντες προαπετέφρουν τοὺς θνήσκοντας· πολλῷ γὰρ πρεσβυτάτῳ τῶν ἐν φιλοσοφίᾳ δογμάτων ἡ τοιαύτη τῶν σωμάτων ἀναστοιχείωσις. τοὺς μέντοι ὀδόντας οὐκ ἔχοντας φύσεως ἢ πυρὶ ἢ χρόνῳ γοῦν μακρῷ καταναλίσκεσθαι, κατελίμπανον ἐπ' αὐτῆς τῆς πυρᾶς ὡς τὸ λοιπὸν ἀχρήστους πρὸς τὸν τῆς παλιγγενεσίας λόγον ἀποβλέποντες· σφόδρα γὰρ καὶ αὐτοὶ τὸν περὶ αὐτῆς παρεδέχοντο λόγον διὰ τὸ αὖθις ὡς ἐδόκει παλιγγενησόμενον ἄνθρωπον μὴ χρῄζειν ἐπὶ τῆς μητρῴας γαστρὸς ὀδόντων.

Y 41. Ὅτι οὔκ εἰσιν ἀστέρες κακοποιοί, ἀλλὰ πάντες Rr III 28 ἀγαθοί· ἀλλ' ἐπεὶ καθ' ἁρμονίαν τὸ πᾶν συνίσταται, οἱ μὲν αὐτῶν εἰσι ξηροί, οἱ δὲ ὑγραίνουσιν, οἱ δὲ ἄλλο τι ἔχουσι πρὸς τὰς κράσεις αὐτῶν· τοίνυν δοκοῦσι βλάπτειν κατὰ τὴν ἐνέργειαν, οὐ κατὰ τὴν πρόθεσιν, καὶ ὅτι τὰς ἀκράτους αὐτῶν ἐνίοτε δυνάμεις οὐχ ὑπομένοντα τὰ ἐν τῇ γῇ βλάπτονται, ὡς καὶ ὀφθαλμοὶ ὑπὸ σφοδρότητος φωτός.

XHS 42. Κατὰ δὲ τὴν πρώτην τοῦ Μαρτίου μηνὸς Ἥραν IV 29 ἐτίμων οἱονεὶ τὴν σελήνην διὰ τὴν νεομηνίαν· ἀνεκήρυττε δὲ ὁ ἱερεὺς χρῆναι γλυκέσι πόμασί τε καὶ σι-
X τίοις χρῆσθαι ἅπαντας πρὸς φυλακὴν ὑγείας. ἐκίνουν δὲ τὰ ὅπλα Ῥωμαῖοι ἐπὶ τῷ τοῦ Ἄρεος πεδίῳ ἢ τεμέ-

v. 3 Stoici cf. Diels Doxogr. gr. 468ᵃ 8 sqq.

v. 5 πρεσβύτατον ci. Gu. Kroll 19 δυνάμεις ἐνίοτε *F* 21 φαιδρότητος *F* 22 ἐν τῇ πρώτῃ οὖν τούτου ἀνεκήρυττεν ὁ ἱερεὺς χρῆναι eqs. *H*, ὅτι κατὰ τὴν — 25 ὑγείας cet. des. *S* 23 ἐκήρυττε *X* 25 ἐκίνουν — 26 τεμένει omis. *H*

νει. ἐν ταύτῃ τῇ ἡμέρᾳ καὶ πόνων ἀνεπαύοντο, καὶ H
αἱ λεγόμεναι παρ' αὐτοῖς Ματρῶναι, τουτέστιν εὐγε-
νεῖς, τοὺς οἰκέτας εἱστίων, καθάπερ ἐν τοῖς Κρονίοις
τουτὶ πράττειν ἔθος ἦν τοῖς δούλους κεκτημένοις· ὧν
αἱ μὲν δι' Ἄρεος τιμὴν δουλεύουσι τοῖς ἄρρεσι τῶν
οἰκετῶν διὰ τὴν κρείττονα φύσιν· οἱ δ' ἀποτρόπαιον
ὥσπερ θεραπείαν εἰσάγοντες τῷ Κρόνῳ τοῖς ἑαυτῶν
δούλοις ἐδούλευον, ὅπως μὴ ταῖς ἀληθείαις νεμεσητόν
τι παθόντες εἰς δουλείαν πολεμίων καταπέσωσιν. πάν-
τες δὲ κατὰ τὸν Μάρτιον τροφὴν τὴν ἐκ κυάμων ἐλάμ-
βανον· Ἄρεος δὲ ὁ κύαμος, παρὰ τὸ κύειν αἷμα· XH
ἔχριόν τε τὰς ἀλλήλων ὄψεις ἀντὶ αἵματος τὸ χρίσμα
τοῦ κυάμου λαμβάνοντες, ταύτῃ γε τὸν Ἄρεα θερα-
πεύοντες. ὅτι ὁ Πυθαγόρας πάνυ τὸν κύαμον ἀπεστρέ- S
φετο· διαφερόντως γὰρ παρὰ τοὺς ἄλλους καρποὺς XS
διεγείρει τὰ σώματα πρὸς συνουσίαν ἐσθιόμενος, καὶ
ταύτῃ καθέλκει τὰς ψυχὰς ἐπὶ τὴν γένεσιν. ὁ δὲ
Ποντικὸς Ἡρακλείδης φησίν, ὡς εἴ τις τὸν κύαμον ἐν
καινῇ θήκῃ ἐμβαλὼν ἀποκρύψει τῇ κόπρῳ ἐπὶ τεσσα-
ράκοντα πάσας ἡμέρας, εἰς ὄψιν ἀνθρώπου σεσαρκω-
μένου μεταβαλόντα τὸν κύαμον εὑρήσει, καὶ διὰ τοῦτο
τὸν ποιητὴν φάναι·

ἶσόν τοι κυάμους τε φαγεῖν κεφαλάς τε τοκήων.

Διογένης δὲ ἐν τρισκαιδεκάτῃ ἀπίστων ταὐτά φησιν·

v. 18 Heraclides FHG II p. 197 23 Abel frgm. Orph. 263 24 Antonius Diogenes ἐν τρισκαιδεκάτῃ τῶν ὑπὲρ Θούλην ἀπίστων.

v. 1 ἐν ταύτῃ — 10 ἐλάμβανον omis. *X* 13 θεραπεύοντες cet. des. *H* 14 ὅτι ὁ πυθαγόρας — p. 100, 19 λόθρον εὑρήσει *S* | ὅτι — ἀπεστρέφετο omis. *X* 15 γὰρ] δὲ *X* 18 *Ποντικὸς* omis. *X* | τὸν] τὴν *X* 19 κενῇ *X* | θύιᾳ *S* | βάλλων *S* | τετταράκοντα *B*, in marg.: *Lucianus in Titarmi vindicatione* 21 διὰ τοῦ τὸν *A* 23 τοι omis. *S* | φαγεῖν καὶ κεφαλὰς τοκήων *A* 24 ἐν τρισκαιδεκάτῃ ἀπίστων ταῦτα omis. *X*

XS τότε ἀπὸ τῆς αὐτῆς σηπεδόνος ἄνθρωπον συστῆναι καὶ κύαμον βλαστῆσαι. τούτου δὲ φανερὰ ἐπῆγε τεκμήρια· εἰ γάρ τις διατραγὼν κύαμον καὶ τοῖς ὀδοῦσι λεάνας ἐν ἀλέᾳ τῆς τοῦ ἡλίου βολῆς καταθείη πρὸς ὀλίγον, εἶτα ἀναστὰς ἐπανέλθοι μετ' οὐ πολύ, εὕροι ἂν ὀδωδότα ἀνθρωπείου φόνου· εἰ δὲ καὶ ἀνθοῦντος ἐν τῷ βλαστάνειν τοῦ κυάμου λαβών τις περκάζοντος τοῦ ἄνθους βραχὺ ἐνθείη ἀγγείῳ κεραμεῷ καὶ ἐπίθεμα ἐπιθεὶς ἐν τῇ γῇ τε κατορύξειε καὶ ἐννενήκοντα παραφυλάξειεν ἡμέρας μετὰ τὸ κατορυχθῆναι, εἶτα μετὰ ταῦτα ὀρύξειε καὶ λάβοι καὶ ἀφέλοι τὸ πῶμα, εὕροι ἂν ἀντὶ τοῦ κυάμου ἢ παιδὸς κεφαλὴν συνεστῶσαν ἢ γυναικὸς αἰδοῖον. ὥστε ἀφεκτέον κατὰ Πυθαγόραν κυάμου, ὡς καὶ τῶν λεγομένων χρυσολαχάνων, ἐπειδὴ X καὶ αὐτῶν ἡ γένεσις ἐξ ἐμμήνων γυναικῶν ἐστι. τούτου χάριν εἰς τοὺς τάφους κύαμοι ῥίπτονται ὑπὲρ σω- XS τηρίας ἀνθρώπων. ὅτι δὲ κύαμος ἀπὸ τοῦ αἵματος εἴρηται, δυνατὸν τῇ πείρᾳ παραλαβεῖν· εἴ τις γὰρ αὐτὸν ἀποβρέξει ἐπὶ νυχθήμερον, τὸ ἐν αὐτῷ ὕδωρ λύθρον εὑρήσει.

X 43. Οἱ δὲ μάγγιπες, οἱονεὶ τεχνῖται τοῦ ἀνδραπο- RrIV 30

v. 1 sqq. quae a Laurentii codicibus discrepant, correxit *Rr* e Porphyrii vita Pythagorae, quae c. 44 habet τότε δὴ ἀπὸ τῆς αὐτῆς — 13 γυναικὸς αἰδοῖον | τότε omis. *X* | αὐτῆς Porph., omis. *XS* | ἀνθρώπους Porph. 3 διατρώγων *A* | λεανάνας *A*, λειάνας *BA*₂, λεάνας *S* Porph. 4 τῇ — βολῇ *S* 5 ἀποστὰς Porph. | μετ' οὐ πολὺ omis. *S* 6 γόνου Porph. | ἐν τῷ — 7 περκάζοντος omis. *X* 7 τοῦ ἄνθους omis. *B* 8 κεραμείῳ *X*, κεραμίῳ Porph. | καὶ ἐπίθημα Porph., ἐπίθεμα *X*, ἐπίθεμα δὲ *S* | ἐνθεὶς *X* 9 τε omis. *S* Porph. | κατορύξει *XS* | παραφυλάξοι *A*, παραφυλάξει *BS* 11 ὀρύξοι *AS*, ὀρύξει *B*, ὀρύξας Porph. | καὶ λάβοι] καὶ omis. Porph. 12 ἂν Porph., omis. *XS* 14 κυάμων *B* | ἐπεὶ *X* 15 ἐστι omis. *S* | τούτου — 17 ἀνθρώπων omis. *S* 21 ἀνδραποδώδους *A*, ἀνδραπόδους *A*₂, ἀνδραπώδους *B*

δώδους ἄρτου, ἔπεμπον τοῖς ἐν λόγῳ Ῥωμυλίας ἀν- X νώνας· οὕτω δὲ ταύτας ἐκάλουν, διὰ τὸ κατὰ τὴν ἐννάτην ὥραν ἐπιδίδοσθαι πρὸς τοῦ Ῥωμύλου τὴν τροφὴν τοῖς στρατιώταις .... καὶ γὰρ Οὐαλεντινιανὸς ἀπαίδευτος ἦν καὶ μόνον .... βαρύμηνις.

Rr IV 31 44. Τῇ πρὸ τεσσάρων Νωνῶν Μαρτίων ἄνεμον βιαιότερον ὡς ἐπίπαν πνεῖν προλέγει ὁ Εὔδοξος.

32 45. Τῇ πρὸ τριῶν Νωνῶν Μαρτίων ὁ πλοῦς τῆς Ἴσιδος ἐπετελεῖτο, ὃν ἔτι καὶ νῦν τελοῦντες καλοῦσι πλοιαφέσια. ἡ δὲ Ἶσις τῇ Αἰγυπτίων φωνῇ παλαιὰ σημαίνεται, τουτέστιν ἡ σελήνη· καὶ προσηκόντως αὐτὴν τιμῶσιν ἐναρχόμενοι τῶν θαλαττίων ὁδῶν, διὰ τὸ αὐτήν, ὡς ἐλέγομεν, τῇ φύσει τῶν ὑδάτων ἐφεστάναι. φασὶ δὲ ταύτην καὶ ὑγείας εἶναι δότειραν, καθάπερ ἡμεῖς τὸν Ἀσκληπιόν. ταὐτὸν δ' ἂν εἴη· ὥσπερ γὰρ ἡμεῖς τὸν ἥλιον εἰς τὸν Ἀσκληπιὸν λαμβάνοντες μετὰ τὰς ἐκείνου δυσμὰς τῆς νυκτὸς ἐπιγινομένης αἴτιον αὐτὸν τοῦ ὕπνου καὶ νυκτὸς καὶ ἀναπαύσεως, αἴτιον καὶ δοτῆρα τῆς ὑγείας .... μυθεύουσιν. ὁ δὲ Χαιρωνεὺς Ἶσιν μὲν τὴν γῆν εἶναι βούλεται καὶ Ὄσιριν τὸν Νεῖλον, Τυφῶνα δὲ τὴν θάλατταν, εἰς ἣν ὁ Νεῖλος ἐμπίπτων ἀφανίζεται.

33 46. Τὴν Τύχην οἱ Ἕλληνες γράφουσι βουπρόσωπον· ἐγὼ δ' οἶμαι τὴν ὑγρὰν εἶναι οὐσίαν, ὅθεν καὶ ἄκουαν αὐτὴν Ῥωμαίοις ἔθος καλεῖν ἀπὸ τῆς ἰσότητος,

v. 7 Eudoxus Wachsmuth de ost. p. 296 nr. 9 20 Plut. de Is. et Os. c. 32 p. 363 D

v. 1 ῥωμυλίοις *A* | ἀνόνας *X* 5 lacunam indicandam putavi 7 εὐδόξιος *A*, corr. A_2 8 ποῦς *A*, πλοῦς A_2 11 προσηκόντας *A*, προσηκόντως corr. ead. m. 16 λαμβάνοντες ἢ μετὰ *B* 19 lacunam indicavit *Sch* 20 ἴσην *B* 23 βοοπρόσω *A*, corr. A_2 25 ἀκουὰν *A*

X τὸ δ' ὕδωρ ὁμοιομερὲς καὶ ἴσον τὴν φύσιν. καὶ καλῶς ἄκονα πρὸς αὐτῶν ὠνόμασται, ἐπειδὴ τὴν ἰσότητα ἤτοι ὁμοιομέρειαν ἀπὸ τοῦ ἄκονα κατὰ παραγωγὴν ἐπικαλοῦσιν.

Par. 47. Τὸ σίβυλλα Ῥωμαϊκὴ λέξις ἐστὶν ἑρμηνευομένη deest Rr προφῆτις ἤγουν μάντις, ὅθεν ἑνὶ ὀνόματι αἱ θήλειαι μάντιδες ὠνομάσθησαν Σίβυλλαι· γεγόνασι δὲ Σίβυλλαι δέκα ἐν διαφόροις τόποις καὶ χρόνοις. πρώτη ἡ καὶ Χαλδαία ἡ καὶ Περσὶς ἡ καὶ πρός τινων Ἑβραία ὀνομαζομένη, ἧς τὸ κύριον ὄνομα Σαμβήθη, ἐκ τοῦ γένους τοῦ μακαριωτάτου Νῶε, ἡ περὶ τῶν κατὰ Ἀλέξανδρον τὸν Μακεδόνα λεγομένη προειρηκέναι, ἧς μνημονεύει Νικάνωρ ὁ τὸν Ἀλεξάνδρου βίον ἱστορήσας, ἡ περὶ τοῦ δεσπότου θεοῦ μυρία προθεσπίσασα καὶ τῆς αὐτοῦ παρουσίας· ἀλλὰ καὶ αἱ λοιπαὶ συνᾴδουσιν αὐτῇ, πλὴν ὅτι ταύτης εἰσὶ βιβλία εἰκοσιτέσσαρα περὶ παντὸς ἔθνους καὶ χώρας περιέχοντα. ὅτι δὲ οἱ στίχοι αὐτῆς ἀτελεῖς εὑρίσκονται καὶ ἄμετροι, οὐ τῆς προφήτιδός ἐστιν ἡ αἰτία ἀλλὰ τῶν ταχυγράφων, οὐ συμφθασάντων τῇ ῥύμῃ τῶν λεγομένων ἢ καὶ ἀπαιδεύτων γενομένων καὶ ἀπείρων γραμματικῶν· ἅμα γὰρ τῇ ἐπιπνοίᾳ ἐπέπαυτο ἐν αὐτῇ ἡ τῶν λεχθέντων μνήμη, καὶ διὰ τοῦτο εὑρίσκονται στίχοι ἀτελεῖς καὶ διάνοια σκάζουσα, εἴτε κατ' οἰκονομίαν θεοῦ τοῦτο γέγονεν, ὡς μὴ γινώσκοιντο ὑπὸ τῶν πολλῶν καὶ ἀναξίων οἱ χρησμοὶ αὐτῆς. δευτέρα Σίβυλλα ἡ Λίβυσσα, τρίτη Σίβυλλα

v. 13 Nicanor Scr. Alexandri Magni p. 152

v. 1 τὸ δ'] τοῦ *B* 2 ὠνόμασθαι *B* 5 περὶ σιβύλλης. τὸ σίβυλλα κτλ. cod. Parisinus gr. 854 f. 159, Cramer anecd. gr. I, 332 sq. 12 λεγομένων προειρηκυῖα *Par.*, corr. ex Suida E. Maass de Sibyllarum indicibus p. 44

ἡ Δελφίς, ἡ ἐν Δελφοῖς τεχθεῖσα· γέγονε δὲ αὕτη πρὸ τῶν Τρωϊκῶν καὶ ἔγραψε χρησμοὺς δι' ἐπῶν ἐν τοῖς χρόνοις τῶν κριτῶν, ὁπηνίκα Δεβώρα προφῆτις ἦν παρὰ Ἰουδαίοις. τετάρτη Ἰταλική ἡ ἐν Κιμμερίᾳ τῆς Ἰταλίας, πέμπτη Ἐρυθραία ἀπὸ πόλεως Ἐρυθρᾶς καλουμένης ἐν Ἰωνίᾳ, ἡ περὶ τοῦ Τρωϊκοῦ προειρηκυῖα πολέμου. ἕκτη Σαμία, ἧς τὸ κύριον ὄνομα Φυτώ, περὶ ἧς ἔγραψεν Ἐρατοσθένης, καὶ αὕτη ἐν τοῖς χρόνοις τῶν παρὰ Ἰουδαίοις κριτῶν ἦν. ἑβδόμη Κυμαία ἡ καὶ Ἀμάλθεια ἢ Ἡροφίλη· ἡ δὲ Κύμη πόλις ἐστὶν Ἰταλική, ἧς πλησίον ἄντρον ἐστὶ συνηρεφὲς καὶ γλαφυρώτατον, ἐν ᾧ διαιτωμένη ἡ Σίβυλλα αὕτη τοὺς χρησμοὺς ἐδίδου τοῖς πυνθανομένοις. ὀγδόη ἡ Γεργιθία· πολίχνη δὲ περὶ τὸν Ἑλλήσποντον τὸ Γεργίθιον. ἐνάτη Φρυγία, δεκάτη ἡ Τιβουρτία ὀνόματι Ἀλβουναία. ὅτι ἡ Ἰουδαία Σίβυλλα καὶ Χαλδὶς ἐκαλεῖτο· καὶ γὰρ ὁ Φίλων τὸν Μωυσέως βίον ἀναγράφων Χαλδαῖον εἶναι αὐτὸν λέγει, γεγενῆσθαι δὲ ἐν Αἰγύπτῳ, ὡς τῶν προγόνων αὐτοῦ ἐκεῖσε κατελθόντων διὰ λιμὸν κατασχόντα Βαβυλῶνά τε καὶ τὰς πλησιοχώρους. καὶ ὡς ἔοικεν, ἀπ' ἀρχῆς οἱ Χαναναῖοι οὕτως ἐκαλοῦντο, ἢ διὰ τὸ τὸν Ἀβραὰμ ἐκεῖθεν ὡρμῆσθαι. λέγει δὲ ὁ αὐτὸς Φίλων καὶ περὶ τῶν συγγραμμάτων τοῦ Μωυσέως, ὅτι ὑπ' αὐτοῦ μὲν τῇ Χαλδαϊκῇ γλώττῃ ἐγράφη, ὕστερον δὲ ὑπὸ Πτολεμαίου εἰς τὴν Ἑλλάδα μετεφράσθη, ὃς τρίτος ἦν τῶν ἀπ' Ἀλεξάνδρου τὴν Αἴγυπτον παραλα- Par.

v. 17 Philo Vita Mosis I, 2   22 Philo ibid. II, 5. 6

v. 1 Δελφοῖς] δελφὶς *Par.*   7 φυτὼ *Par.*, in corr.   10 ἱεροφύλῃ *Par.*, corr. E. Maass ibid. p. 45   11 συνηνεφές *Par.*, corr. Cramer   13. 14 γεργιτία et τὸ γεργίτιον *Par.*, Γεργιθία et ἡ Γέργιθος E. Maass   15 τιγούρτη et ἀβουναία *Par.*, emendavit E. Maass   17 μωσέως *Par.*   23 μωσέως *Par.*

Par. *βόντων, Φιλάδελφος ἐπικεκλημένος. ταύτης δὲ τῆς Ἑβραίας Σιβύλλης βίβλῳ ἐνέτυχον ἐν Κύπρῳ, ἐν ᾗ πολλὰ καὶ τῶν ⟨ἑλληνικῶν⟩ προφητεύσασα διαλαμβάνει· καὶ μέντοι καὶ περὶ Ὁμήρου, ὅτι ἀναστήσει ὁ θεὸς ἄνθρωπόν τινα σοφόν, ὃς τὸν τῶν ἡρώων πόλεμον ἀναγράψεται καὶ τοὺς γενναιοτάτους τούτων ὑμνήσει· προλέγει δὲ καὶ περὶ Χριστοῦ καὶ τῶν μετὰ τὴν Χριστοῦ παρουσίαν γεγενημένων· καὶ μέντοι καὶ περὶ τῶν γενησομένων ἕως τῆς συντελείας, ἐν οἷς καὶ περὶ Κύπρου καὶ Ἀντιοχείας παλίμφημά τινα προφητεύει, τῆς μὲν ὡς πολέμῳ πεσουμένης καὶ μηκέτ' ἀναστησομένης, τῆς δὲ νήσου ὑποβρυχίου γενησομένης· φησὶ γάρ·*

Τλήμων Ἀντιόχεια, σὲ δὲ πτόλιν οὔποτ' ἐροῦσιν,
εὖτε κακοφροσύνῃσι τεαῖς περὶ δούρασι πίπτεις,

καὶ ἑξῆς

αἲ αἲ Κύπρε τάλαινα, σὲ δὲ μέγα κῦμα καλύψει
ἤμασι χειμερίῃσιν ὀρινομένη τε θάλασσα.

προέλαβε δὲ τὴν τοῦ Χριστοῦ παρουσίαν αὕτη ἡ Σίβυλλα ἔτη δισχίλια, ἧς ἐστι καὶ τοῦτο τὸ ἔπος τὸν τίμιον σταυρὸν προμηνύον·

ὦ ξύλον ὦ μακαριστόν, ὑφ' οὗ θεὸς ἐξετανύσθη.

XS Par. *ὅτι τέταρτος ἀπὸ Ῥώμου τοῦ οἰκιστοῦ βασιλεὺς ἐν* Rr IV 34
Ῥώμῃ γέγονε Ταρκύνιος Πρίσκος· γυνὴ δέ τις Ἀμάλθεια ἦλθε πρὸς αὐτὸν ἐπιφερομένη τρεῖς βίβλους, χρη-

v. 13 sq. 16 sq. cf. Oracula Sibyllina ed. Rzach IV, 140. 141. 143. 144. XIII, 125. 126   21 Or. Sib. VI, 26

v. 2 *βίβλον Par.*, corr. Gu. Kroll   3 *ἑλληνικῶν* supplevi in lacuna octo fere litterarum *Par.*   13 *τλῆμον Par.*   20 *ὅτι* (omis. *X*) *ἐπὶ ταρκυνίου πρίσκου τοῦ ῥηγὸς ἀμαλθία τοὔνομά τις* (*τις τοὔνομα S*) *γυνὴ ἧκεν ὡς αὐτόν* — p. 105, 12 *φυλακὴν XS*   24 *χρησμοὶ δὲ σιβύλλης τῆς κυμαίας ἐτύγχανον, ἐπεζήτει δὲ τὸν* (*κατὰ* add. *X*) *βασιλέα* (omis. *X*) *τριάκοντα τούτους ἀποδόσθαι χρυσῶν XS*

σμοὺς Σιβύλλης τῆς Κυμαίας, καὶ ἐζήτει αὐτῷ δοῦναι XSPar. εἰς τριάκοντα χρυσοῦς· τοῦ δὲ καταφρονήσαντος ἀγανακτήσασα ἡ γυνὴ ἔκαυσε τὸ ἓν τῶν βιβλίων, καὶ αὖθις προσελθοῦσα ἠξίου καὶ ὑπὲρ τῶν λειπομένων δύο τοὺς τριάκοντα λαβεῖν χρυσοῦς· τοῦ δ' ἔτι μᾶλλον αὐτὴν ὑπεριδόντος καὶ τὸ ἕτερον ἔκαυσε· λοιπὸν οὖν ὑπὲρ τοῦ ἑτέρου ἑνὸς τὴν αὐτὴν ἐπεζήτει τιμήν. στοχασάμενος οὖν ὁ βασιλεὺς ἀναγκαῖον αὐτὸ εἶναι τῇ βασιλείᾳ λαμβάνει δοὺς τοὺς τριάκοντα χρυσοῦς· καὶ εὑρὼν ἐν αὐτῷ τὰς Ῥωμαίων τύχας κατ' ἐξαίρετον καὶ μόνας ἐγγεγραμμένας, ἑξήκοντα πατρικίων συστήματι τὴν τούτων παρέδωκε φυλακήν.

RrIV35 48. *Νώναις Μαρτίαις ὁ Βάρρων ὄρθρου τὸν στέφανον δύεσθαι λέγει καὶ πνεῖν τὸν βορρᾶν.* X

III29 IV36 49. *Εἰδοῖς Μαρτίαις ἑορτὴ Διὸς διὰ τὴν μεσομηνίαν καὶ εὐχαὶ δημόσιαι ὑπὲρ τοῦ ὑγιεινὸν γενέσθαι τὸν ἐνιαυτόν. ἱεράτευον δὲ καὶ ταῦρον ἑξέτη ὑπὲρ τῶν ἐν τοῖς ὄρεσιν ἀγρῶν, ἡγουμένου τοῦ ἀρχιερέως καὶ τῶν κανηφόρων τῆς Μητρός. ἤγετο δὲ καὶ ἄν-* XYH

v. 14 Varro Wachsmuth de ost. p. 296 nr. 10

v. 3 *τὸ ἓν τῶν βιβλίων ἔκαυσεν XS* | *καὶ] εἶτα XS* 4 *προσελθοῦσα] ὡς αὐτὸν γενομένη XS* | *καὶ* omis. *S Par.* | *ἀπολειπομένων B* 5 *τοὺς αὐτοὺς τριάκοντα XS* | *χρυσίους Par.* 6 *παριδόντος X* | *λοιπὸν οὖν] πάλιν δὲ XS* 7 *ἑτέρου] λειπομένου XS* | *ἐπιζητούσης τοῦ χρυσίου ποσότητα, στοχασάμενον εἰκὸς τὸν βασιλέα, ὡς ἀναγκαῖα μᾶλλον* (*μᾶλλον* omis. *S*) *ἐτύγχανε τὰ βιβλία, πρίασθαι* (*ἐπρίατο X*) *παρ' αὐτῆς τὸ λειπόμενον· εἶτα εὑρόντα* (10) *XS* 9 *χρυσίους Par.* 11 *συστήματα B Par.* 12 *παραδοῦναι XS* 17 *ἱεράτευε B* 18 *τοῦ ἀρχιερέως* omis. *B* 19 *μητρὸ A*, *μητρό* A_2, unde corrupit *μητρόχου B* | *ἐν τούτω τῶ μηνὶ τῶν ῥωμαίων ἑορτὴν ὑπὲρ τοῦ ὑγιεινὸν αὐτοῖς τὸν ἐνιαυτὸν εἶναι τελούντων ἄνθρωπος αὐτῶν ἡγεῖτο περιβεβλημένος* eqs. *H* f. 165[r], *ὅτι ἐν εἰδοῖς μαρτίαις πομπῆς γινομένης ἤγετο καὶ ἄνθρωπος περιβεβλημένος* etc. *Y*

XYH θρωπος περιβεβλημένος δοραῖς αἰγείαις, καὶ τοῦτον ἔπαιον ῥάβδοις λεπταῖς ἐπιμήκεσι Μαμούριον αὐτὸν καλοῦντες. οὗτος δὲ τεχνίτης ἐν ὁπλοποιΐᾳ γενόμενος, διὰ τὸ μὴ τὰ διοπετῆ ἀγκίλια συνεχῶς κινούμενα φθείρεσθαι, ὅμοια ἐκείνων κατεσκεύασε τῶν ἀρχετύπων· ὅθεν παροιμιάζοντες οἱ πολλοὶ ἐπὶ τοῖς τυπτομένοις διαγελῶντές φασιν, ὡς τὸν Μαμούριον αὐτῷ παίζοιεν οἱ τύπτοντες· λόγος γάρ, καὶ αὐτὸν ἐκεῖνον Μαμούριον δυσχερῶν τινων προσπεσόντων ἐπὶ τῇ τῶν ἀρχετύπων ἀγκιλίων ἀποσχέσει τοῖς Ῥωμαίοις παιόμενον
X ῥάβδοις ἐκβληθῆναι τῆς πόλεως. ταύτην τὴν ἡμέραν ὁ Μητρόδωρος κακὴν παραδίδωσιν.

50. Ἡ πρὸ δεκαεπτὰ Καλενδῶν Ἀπριλίων ἄπρα- BrIV 37
κτος. ἐν ταύτῃ τῇ ἡμέρᾳ Εὔδοξος τοὺς ἰχθύας ἀνίσχειν καὶ βορρᾶν πνεῖν παραδίδωσιν.

51. Λίβερ παρὰ Ῥωμαίοις ὁ Διόνυσος οἱονεὶ ἐλεύ- 38
θερος, τουτέστιν Ἥλιος. μυστήρια ἀπὸ τῆς στερήσεως τοῦ μύσους ἀντὶ τοῦ ἁγιωσύνης. Διόνυσος, δι' ὃν ἡ νύσσα — ὁ καμπτήρ — καὶ ἡ περικύκλησις τοῦ χρόνου. Τέρπανδρός γε μὴν ὁ Λέσβιος Νύσσαν λέγει τετιθηνηκέναι τὸν Διόνυσον τὸν ὑπό τινων Σαβάζιον ὀνομαζόμενον, ἐκ Διὸς καὶ Περσεφόνης γενόμενον, εἶτα

v. 12 Metrodorus Wachsmuth de ost. p. 296 nr. 11 14 Eudoxus Wachsmuth ibid. nr. 12 20 Terpander fr. 8 Bergk

v. 1 αἰγείας omis. *XY* 2 λευκαῖς *X* | μάμουρον *B*, μάμουρον αὐτὸν καὶ μαμούριον *H* 3 οὗτος δὲ] ὅτι ἦν ποτέ τις μαμούριος τεχνίτης *H* | γινόμενος, ὃν διά τινας αὐτοῦ παραλόγους ὁρμὰς ῥάβδοις παιόμενον ἐκβληθῆναί φασι τῆς πόλεως (11). cet. des. *H* 4 ἀγγίλια *B* 7 μάμουρον *BDFG* 8 ἐκεῖνον omis. *DEFG* 10 ἀγγιλίων ὑποσχέσει *B* 11 πόλεως. cet. des. *Y* 13 ἀπριλλίων *A*, sim. cod. saepe 20 λέγεται τεθῆναι *X*, λέγει τετιθηνηκέναι *Sch*

ὑπὸ τῶν Τιτάνων σπαραχθέντα. φέρεται δὲ καί τις X μῦθος περὶ αὐτοῦ κατὰ τὸν Ἀπολλόδωρον, ὡς εἴη γεγονὼς ἐκ Διὸς καὶ Γῆς, τῆς δὲ Γῆς Θεμέλης προσαγορευομένης διὰ τὸ εἰς αὐτὴν πάντα καταθεμελιοῦσθαι, ἣν κατὰ συναλλαγὴν ἑνὸς στοιχείου, τοῦ σ̄, Σεμέλην οἱ ποιηταὶ προσηγορεύκασι. κατὰ δὲ τοὺς ποιητὰς Διόνυσοι πέντε· πρῶτος Διὸς καὶ Λυσιθέας, δεύτερος ὁ Νείλου, ὁ καὶ βασιλεύσας Λιβύης καὶ Αἰθιοπίας καὶ Ἀραβίας· τρίτος Καβείρου παῖς, ὅστις τῆς ⟨Ἀσίας⟩ ἐβασίλευσε, ἀφ' οὗ ἡ Καβειρικὴ τελετή· τέταρτος ὁ Διὸς καὶ Σεμέλης, ᾧ τὰ Ὀρφέως μυστήρια ἐτελεῖτο, καὶ ὑφ' οὗ οἶνος ἐκεράσθη· πέμπτος ὁ Νίσου καὶ Θυώνης, ὃς κατέδειξε τριετηρίδα. καὶ ταῦτα μὲν οἱ Ἕλληνες· οἱ δέ γε Ῥωμαῖοι τὸν Διόνυσον Βακχευτὴν τοῦ Κιθαιρῶνός φασιν, οἱονεὶ βακχευτὴν καὶ ἀνατρέχοντα ἀνὰ τὸν οὐρανόν, ⟨ὃν⟩ ἐκ τῆς τῶν ἑπτὰ συμφωνίας ἀστέρων Κιθάρωνα ὠνόμασαν· ὅθεν Ἑρμῆς XS κιθάραν δίδωσι μυστικῶς τῷ Ἀπόλλωνι, οἷον ὁ λόγος τῷ ἡλίῳ τὴν τοῦ παντὸς ἁρμονίαν. ἐν ἀπορρήτῳ δὲ X τῷ Διονύσῳ τὰ μυστήρια ἐτελεῖτο, διὰ τὸ πᾶσιν ἀπόκρυφον εἶναι τὴν τοῦ ἡλίου πρὸς τὴν τοῦ παντὸς

v. 2 Apollod. frg. 29 FHG I p. 433

v. 8 ὁ *νείλου*] *ὃν εἶ λαὸν A* 9 *καιβίρου A* 10 lacuna litterarum quattuor (*A*) aut decem (*B*), *Ἀσίας* e Cicerone de nat. deor. III, 58 supplevit Creuzer: *tertium (Dionysum) Caprio patre, eumque regem Asiae praefuisse dicunt* 11 *ᾧ*] *ὧν X*, corr. Creuzer 12 *νύσου καὶ θυένης B* 16 *ὃν* omis. *X*, suppl. *Rr* 17 *ὅτι ὁ ἑρμῆς* — 19 *ἁρμονίαν S*, *ἑρμῆς κιθάραν* — 19 *ἁρμονίαν* Lambecius in Codinum p. 152 nr. 27; cf. R f. 3r: *κιθάραν ἐπὶ χειρῶν πλάττουσι τοῦ ἀπόλλωνος, οἱονεὶ τὸν ἥλιον τὴν τοῦ παντὸς ἁρμονίαν· κιρνώμενος γὰρ τοῖς λοιποῖς ἀστράσι καὶ τίκτει καὶ ζωογονεῖ* 18 *μυθικῶς X* | *οἱονεὶ S* | *ὁ λόγος* omis. *S*

X φύσιν κοινωνίαν. καὶ φαλλοὺς ἐν τοῖς ἱεροῖς αὐτοῦ παρελάμβανον, οἱονεὶ τὰ γεννητικὰ ὄργανα, καὶ εἴσοπτρον οἱονεὶ τὸν διαυγῆ οὐρανόν, σφαῖραν δὲ οἱονεὶ τὴν γῆν· ὁ γὰρ Πλάτων ἐν τῷ Τιμαίῳ φησίν· ʽγῇ μὲν τὸ σφαιρικὸν εἶδος.᾽ διὸ δὴ καὶ ὁ Πυθαγόρας ἐν ταῖς δέκα σφαίραις οὕτως καὶ αὐτῇ ψυχὰς ἐνεσπάρθαι φησί. Πυριγενέα δὲ αὐτὸν καὶ Παγκρατῆ ἐν τοῖς ἱεροῖς ἐκάλουν, ὅτι τὴν μὲν φύσιν πυρώδης ἐστὶν ὁ ἥλιος, τοῦ δὲ παντὸς ἐπάρχει καὶ κρατεῖ. καὶ πάνθηρα δὲ παρ αὐτοῦ τοὔνομα ποιοῦσιν ἀποδεχόμενον, οἱονεὶ τὴν πάνθηρον γῆν ἐξ αὐτοῦ λαμβάνουσαν τὴν ζωοποιὸν καὶ εὐφραντικὴν τροφήν. καὶ Βάκχας αὐτῷ καὶ Νύμφας οἱονεὶ τὰ ὕδατα ποιοῦσι πειθαρχοῦντα, τῇ δὲ τοῦ ἡλίου κινήσει ἡ τῶν ὑδάτων φύσις ζωογονεῖται· κύμβαλα δὲ καὶ θύρσους αὐταῖς διδόασι τὸν τῶν ὑδάτων ἦχον· καὶ ὑπὸ Σατύρων ἐλαυνομένας τὰς Μαινάδας, οἷον ὑπὸ τῶν ἀνέμων ὠθουμένης τῆς τῶν ὑδάτων φύσεως βροντὰς καὶ κτύπους ἀποτελεῖσθαι. Διόνυσον δὲ ὡσανεὶ τὸν τοῦ Διὸς νοῦν οἱονεὶ τὴν τοῦ κόσμου ψυχήν· πολλαχοῦ γὰρ εὑρίσκομεν, ὡς ὁ σύμπας κόσμος Ζεὺς ὀνομάζεται διὰ τὸ ἀείζωον καὶ ἀτελεύτητον. Σεμέλης δὲ αὐτὸν ποιοῦσιν υἱόν, ὡς ὑπὸ γῆν κρυπτόμενον καὶ διὰ τοῦ Ἑρμοῦ, τουτέστι τοῦ λόγου, προϊόντα· καὶ τῷ μηρῷ τοῦ Διὸς ἐντρεφόμενον, οἱονεὶ ἐν τοῖς ἀπορρήτοις τοῦ κόσμου λανθάνοντα· καὶ Διθύραμβον καὶ Διμήτορα τὸν δύο προόδους λαχόντα, τὴν

v. 4 Plato Tim. p. 55D: γῇ μὲν δὴ τὸ κυβικὸν εἶδος δῶμεν.

v. 2 ὀργανικαὶ ἔσοπτρον *B*, corr. ead. m. 6 αὐτῇ *A*, αὐτῆς A_2 *B* 9 ὑπάρχει *B* | πάνθηρον *X*, corr. *Rr* 10 τόνομα *A* 16 ἐλαυνόμενος *B* 18 τύπους *A* 26 δημήτορα τῶν *A*

μὲν ἀνατολικὴν πρὸς νότον ἐν χειμῶνι, τὴν δὲ βορείαν πρὸς δυσμὰς ἐν τῷ θέρει. καὶ ταῦτα μὲν περὶ Διονύσου. Ἐν δὲ τῇ ἡμέρᾳ τῶν Βακχαναλίων Δημόκριτος δύεσθαι τοὺς ἰχθύας λέγει, ὁ δὲ Βάρρων ἀνεμομαχίαν ἔσεσθαι παραδίδωσιν. οὕτως μὲν ἡ παλαιότης περὶ τὰ Διονύσια. X

deest Rr 52. *Ὅτι ἐν τῷ Καπιτωλίῳ ταραχῆς γενομένης ὑπὸ τῶν στασιαστῶν λέγεται τηνικαῦτα ποιμένος ἐπιφανῆναι δόξαντος τῷ τόπῳ καὶ κρίναντος ὡς αὐτὸν συναχθῆναι τὸν δῆμον, συνδραμεῖν δὲ τὸ πλῆθος· κἀκεῖσε πρὸς τοῦ ποιμένος τῶν βαναύσων χωρισθέντων εἰρήνην μὲν τῷ δήμῳ γενέσθαι, αὐτὸν δὲ ἀφανισθῆναι.* S

deest Rr 53. *Ὅτι πολλὴ τοῖς θεολόγοις διαφωνὴ περὶ τοῦ παρ' Ἑβραίων τιμωμένου θεοῦ καὶ γέγονε καὶ ἔστιν· Αἰγύπτιοι γὰρ καὶ πρῶτος Ἑρμῆς Ὄσιριν· τὸν ὄντα θεολογοῦσιν αὐτόν, περὶ οὗ Πλάτων ἐν Τιμαίῳ λέγει· 'τί τὸ ὂν μὲν ἀεί, γένεσιν δὲ οὐκ ἔχον, τί δὲ τὸ γινόμενον, ὂν δὲ οὐδέποτε;' Ἕλληνες δὲ τὸν Ὀρφέως Διόνυσον, ὅτι, ὡς αὐτοί φασι, πρὸς τῷ ἀδύτῳ τοῦ ἐν Ἱερυσολύμοις ναοῦ ἐξ ἑκατέρων σταθμῶν τὸ πρὶν ἄμπελοι ἀπὸ χρυσοῦ πεποιημένοι ἀνέστελλον τὰ παραπετάσματα ἐκ πορφύρας καὶ κόκκου πεποικιλμένα, ἐξ ὧν καὶ ὑπέλαβον Διονύσου εἶναι τὸ ἱερόν· Λίβιος δὲ ἐν τῇ καθόλου Ῥωμαϊκῇ ἱστορίᾳ ἄγνωστον τὸν ἐκεῖ τιμώμενόν φησι· τούτῳ δὲ ἀκολούθως ὁ Λούκανος*

v. 3 Democritus et Varro Wachsmuth de ost. p. 296 nr. 13 16 Plato Tim. p. 27 D 23 Livii locum extitisse quondam in libro CII ci. Usener in M. Annaei Lucani commentariis Bernensibus ad Phars. vs. II 592, ubi eadem atque hoc loco traduntur. 25 Lucan. Phars. II 592

v. 1 *ἀνατολὴν B* 17 *μὲν* omis. Plato | *καὶ τὶ γιγνόμενον μὲν ἀεί* Plato 23 *λίλαιος S, Λίβιος* scripsi

S ἀδήλου θεοῦ τὸν ἐν Ἱεροσολύμοις ναὸν εἶναι λέγει, ὁ δὲ Νουμήνιος ἀκοινώνητον αὐτὸν καὶ πατέρα πάντων τῶν θεῶν εἶναι λέγει, ἀπαξιοῦντα κοινωνεῖν αὐτῷ τῆς τιμῆς τινα· καὶ Ἰουλιανὸς δὲ ὁ βασιλεύς, ὅτε πρὸς Πέρσας ἐστρατεύετο, γράφων Ἰουδαίοις οὕτω φησίν· ‘ἀνεγείρω γὰρ μετὰ πάσης προθυμίας τὸν ναὸν τοῦ ὑψίστου θεοῦ’· δι' ἣν αἰτίαν καί τινες τῶν ἀπαιδεύτων, ἔτι δὲ καὶ διὰ τὴν περιτομὴν Κρόνον αὐτὸν εἶναι νομίζουσιν· ὑψηλότερος γάρ φασι τῶν πλανήτων ὁ Κρόνος· οὐ συνορῶντες ὅτι ἡ περιτομὴ σύμβολόν ἐστι τοῦ καθαρμοῦ τῆς νοερᾶς ψυχῆς, ὡς τοῖς μυστικοῖς τῶν Ἑβραίων δοκεῖ, ὅτι δὲ οὐ Κρονία τελετὴ ἡ περιτομή· καὶ Ἀράβων οἱ λεγόμενοι Σκηνῖται ἐπὶ τοῦ τρισκαιδεκάτου ἐνιαυτοῦ τοὺς ἑαυτῶν παῖδας περιτέμνουσιν ὡς Ὠριγένης λέγει, καίτοι Ἀστάρτην ἀλλ' οὐ Κρόνον τιμῶντες· καὶ Αἰθίοπες δὲ τὰς κόγχας τῶν γονάτων τῶν νέων σιδηρῷ καυστικῷ σφραγίζουσι τῷ Ἀπόλλωνι. ὁ μέντοι Πορφύριος ἐν τῷ ὑπομνήματι τῶν λογίων τὸν δὶς ἐπέκεινα τουτέστι τὸν τῶν ὅλων δημιουργὸν τὸν παρὰ Ἰουδαίων τιμώμενον εἶναι ἀξιοῖ, ὃν ὁ Χαλδαῖος δεύτερον ἀπὸ τοῦ ἅπαξ ἐπέκεινα, τουτέστι τοῦ ἀγαθοῦ, θεολογεῖ. οἱ μέντοι περὶ Ἰάμβλιχον καὶ Συριανὸν καὶ Πρόκλον δημιουργὸν αὐτὸν τοῦ αἰσθητοῦ κόσμου νομίζουσιν εἶναι καλοῦντες αὐτὸν τῆς τετραστοίχου θεόν· ὁ δὲ Ῥωμαῖος Βάρρων περὶ

v. 4 cf. Iuliani imp. epistolae fragmentum p. 295 C et epistolae XXV p. 397 D ed. Hertlein *Ἰουδαίων τῷ κοινῷ* datae finem huius loci simillimum 15 Origenes Philoc. XXXIII 18 G. Wolff, Porphyrii de philosophia ex oraculis haurienda librorum reliquiae p. 142 21 cf. Gu. Kroll Or. Chald. p. 16 25 Varro: cf. Macrob. Sat. I, 18, 21

v. 1 *ὁ δὲ νουμήνιος δὲ*, alterum *δὲ* del. *S*

αὐτοῦ διαλαβών φησι παρὰ Χαλδαίοις ἐν τοῖς μυστι- XS
κοῖς αὐτὸν λέγεσθαι Ἰάω ἀντὶ τοῦ φῶς νοητὸν XS Cedren.
τῇ Φοινίκων γλώσσῃ, ὥς φησιν Ἑρέννιος. καὶ Σαβαὼθ
δὲ πολλαχοῦ λέγεται, οἷον ὁ ὑπὲρ τοὺς ἑπτὰ πόλους,
τουτέστιν ὁ δημιουργός. πολλαὶ μὲν οὖν οὕτω περὶ S
αὐτοῦ δόξαι, κρείττους δὲ μᾶλλον οἱ ἄγνωστον αὐτὸν καὶ
ἄδηλον θεολογοῦντες. ὅτι δὲ σφάλλονται οἱ Διόνυσον
αὐτὸν εἶναι νομίζοντες ἀπό τε τῶν εἰρημένων ἀμπέ-
λων, αἳ τὰ παραπετάσματα ἀνέστελλον καὶ ἔτι οὐκ
οἶδ' ὅθεν ἀναπεισθέντες ἀνοινεῖν τοὺς Ἑβραίων βε-
βήλους, ἐξ αὐτῶν ἄν τις τῶν παρ' αὐτοῖς νομίμων
λάβοι· οὐ γὰρ τοὺς βεβήλους, ἀλλὰ τοὺς ἱερουμένους
τουτὶ πράττειν θεσπίζουσιν οὕτω λέγοντες· 'οἶνον καὶ
σίκερα οὐ πίεσθε ἡνίκα ἂν εἰσπορεύησθε εἰς τὴν σκη-
νήν.'

RrIV39 54. Πρὸ δεκαπέντε Καλενδῶν Ἀπριλίων ὁ Εὐκτή- X
μων ποικίλους ἀνέμους πνέειν λέγει. κεφαλαίαν δὲ
Ἀθηνᾶν τὴν φρόνησιν ἄν τις εἴποι· καὶ γὰρ ἐπὶ τοῦ XS
βρέγματος κατὰ τὸ ἀντικέφαλον ἐναποκεῖσθαι λέγεται
πρὸς ταῖς ῥίζαις τοῦ ἐγκεφάλου τοῖς ἀνθρώποις ἡ
φρόνησις· ὅθεν ὀργιζόμενον Ἀχιλλέα Ὅμηρος ἐκ τοῦ
βρέγματος πιεζόμενον ὑπὸ τῆς Ἀθηνᾶς ἐποίησε λέγων·

ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα.

v. 13 cf. Levit. X, 9 16 Euctemo Wachsmuth de ost. p. 296 nr. 14 23 Hom. Il. A 197

v. 1 οἱ χαλδαῖοι τὸν θεὸν ἰαὼ λέγουσιν ἀντὶ τοῦ — 5 ὁ δημιουργός. *X*, Georg. Cedren. hist. comp. p. 296, 19 Bonn: Ὅτι Ἰαω παρὰ Χαλδαίοις ἑρμηνεύεται φῶς νοητὸν τῇ Φοινίκων γλώσσῃ· καὶ Σαβαὼθ δὲ ὁ ὑπὲρ τοὺς ἑπτὰ πόλους, τουτέστιν ὁ δημιουργὸς θεός. 3 ὥς φησιν Ἑρέννιος omis. *X* 4 ὁ omis. *BS* 5 τουτέστι δημιουργός *B* 12 λάβῃ *S*, λάβοι scripsi | ἱερωμένους *S*, ἱερουμένους scripsi 14 πίεσθε ἐὰν LXX 18 ὅτι ἐπὶ τοῦ βρέγματος — p. 112, 13 ἀγκίλια *S* 21 τὸν ἀχιλλέα ὁ ὅμηρος *B*

XYS *καὶ γλαυκῶπιν αὐτὴν διὰ τὸ πυρῶδες γράφουσι καὶ* Rr III 30
γλαῦκα αὐτῇ τὸ ὄρνεον προσνέμουσιν, ὅπερ ἐγρήγορε
S *διὰ πάσης τῆς νυκτός, ὡς ἄν τις εἴποι, ἡ ἀνθρωπίνη*
ψυχὴ κατὰ μηδένα καιρὸν ἀργοῦσα· καὶ γὰρ ἀθάνατος
XYS *καὶ ἀεικίνητος τὴν φύσιν· τὸ γὰρ παῦλαν ἔχον κινή-*
σεως παῦλαν ἔχει ζωῆς κατὰ Πλάτωνα.

S 55. *Ὅτι κατὰ τὴν πρὸ τεσσαρεσκαίδεκα καλενδῶν* deest Rr
Ἀπριλίων ἔθος ἦν τοὺς Σαλίους ἀποτίθεσθαι τὰ διο-
πετῆ ὅπλα, ἅτινα ἐκάλουν ἀγκίλια, οὓς κατέστησεν ὁ
Νουμᾶς. ταῦτα δὲ εἰς τιμὴν Ἄρεος πολεμικοῦ εἰώθη
κινεῖσθαι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ἐν ᾗ λέγεται φωνὴν ἐκ
τοῦ οὐρανοῦ ἀκουσθῆναι λέγουσαν, ἕως τότε σώζεσθαι
τὴν πόλιν, ἕως ἂν σώζηται τὰ ἀγκίλια.

Y 56. *Ὅτι καὶ ἐν Ῥώμῃ τὰς τῶν πολιτῶν ἁμαρτάδας* Rr III 31
ἐπὶ ἁμαξῶν διέπαιζον καὶ λανθανούσας ἐξῆγον κατὰ
τὴν Ἀθηναίων συνήθειαν, οἳ τοῖς ἁμαρτάνουσιν ἠπεί-
λουν λέγειν τὰ ἐξ ἁμάξης.

X 57. *Πρὸ δεκατεσσάρων Καλενδῶν Ἀπριλίων ἑορτὴ* IV 40
παρὰ Ῥωμαίοις τιμωμένη οὐχ ὡς Ῥωμαϊκὴ ἀλλ' ὡς με-
γίστην παρ' Αἰγυπτίοις ἔχουσα τιμὴν δι' αἰτίαν τοι-
αύτην· τοῦ Νείλου τὴν ἐτήσιον ἐπίδοσιν τῶν ὑδάτων
ἀρνουμένου ποτὲ καὶ ταύτῃ τῶν Αἰγυπτίων ἀπολλυ-
μένων, δαίμων τις ἀγαθὸς εἰς ἄνθρωπον φανείς, ὅλον
τὸ σῶμα πεπηλωμένος, ἐξεβόα τοῖς Αἰγυπτίοις ἀναβλύ-

v. 6 Plat. Phaedr. p. 245 C

v. 1 *ὅτι ἡ ἀθηνᾶ εἰς ψυχὴν ἀλληγορουμένη καὶ γλαυκῶπις λέγεται διὰ τὸ πυρῶδες. καὶ γλαῦκα αὐτῇ ἀνατιθέασιν, ὅτι περ ἐγρήγορε διὰ πάσης νυκτὸς οἱονεὶ ἀεικίνητος* (*ἀκίνητος D*)· *τὸ γὰρ* (5) — 6 *πλάτωνα Y* | *γλαυκώπην A* 2 *γλαῦκαν B* 3 *εἴπη S*, *εἴποι* scripsi | *εἴποι* — 4 *ἀθάνατος* omis. *X* 5 *ἀκίνητος B* 7 *τεσσαρεσκαιδεκάτην S*, *τεσσαρεσκαίδεκα* scripsi 23 *δαίμων*] *Claudianus in Eutropium B* in marg.

σαι τὸν Νεῖλον, καὶ αὐτὸν ἐμπεσεῖν τοῖς ὕδασι· τῶν X
δὲ ἀπιστησάντων, ἔργῳ δὲ τἀληθὲς εὑρόντων, ἑορτὴ
παρ' αὐτοῖς τε καὶ παρὰ τοῖς Ἕλλησιν ὡρίσθη λεγο-
μένη Πηλούσιον.

RrIII32 58. Ὅτι τὴν ἐν Λυδίᾳ Φιλαδέλφειαν Αἰγύπτιοι Y
ἐπόλισαν. ὅτι οἱ περὶ τὸν φιλόσοφον Πρόκλον μικρὰς XS
Ἀθήνας ἐκάλουν τὴν Φιλαδέλφειαν διὰ τὸν πρὸς ἐκείνας
ζῆλον διά <τε> τὰς ἑορτὰς καὶ τὰ ἱερὰ τῶν εἰδώλων. X

IV 41 59. Τῇ πρὸ δεκαμιᾶς Καλενδῶν Ἀπριλίων δένδρον
πίτυς παρὰ τῶν δενδροφόρων ἐφέρετο ἐν τῷ Παλατίῳ.
τὴν δὲ ἑορτὴν Κλαύδιος ὁ βασιλεὺς κατεστήσατο, ἀνὴρ XS
οὕτω δίκαιος περὶ τὰς κρίσεις, ὡς μητέρα τὸν ἑαυτῆς
παῖδα ἀρνουμένην κελεῦσαι ὡσανεὶ ξένην γαμηθῆναι
αὐτῷ, τὴν δὲ ἀπειποῦσαν κρῖναι μητέρα.

42 60. Τῇ πρὸ δέκα Καλενδῶν Ἀπριλίων καθαρμὸς X
σάλπιγγος καὶ κίνησις τῶν ὅπλων, καὶ τιμαὶ Ἄρεος
καὶ Νερίνης, θεᾶς οὕτω τῇ Σαβίνων γλώσσῃ προσα-
γορευομένης, ἣν ἠξίουν εἶναι τὴν Ἀθηνᾶν ἢ καὶ Ἀφρο-
δίτην· νερίνη γὰρ ἡ ἀνδρία ἐστὶ καὶ νέρωνας τοὺς
ἀνδρείους οἱ Σαβῖνοι καλοῦσιν. αὐτὴν δὲ μετὰ Ἄρεος
ἡγεῖσθαι τῶν πολέμων καὶ Ὅμηρος δείκνυσι λέγων·

ταῦτα δ' Ἄρηι θοῷ καὶ Ἀθηνᾷ πάντα μελήσει.

οἱ γὰρ Ἀφροδίτην εἶναι νομίζοντες τὴν Νερίνην πλα-
νῶνται, καὶ μάρτυς κἀνταῦθα Ὅμηρος·

οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήϊα ἔργα.

v. 22 Hom. Il. E 430 25 Hom. Il. E 428

v. 6 ἐπόλισαν cet. des. *Y* 6 ὅτι — 8 ζῆλον *S*, μικρὰς ἀθήνας ἐκάλουν τὴν φιλαδέλφειαν διὰ τὰς ἑορτὰς etc. *X* 8 <τε> addidi 11 ὅτι κλαύδιος ὁ βασιλεὺς οὕτω δίκαιος ἦν περὶ — 14 μητέρα *S* 13 ὡσανεὶ] ὡς ἂν *S* | ξένην *ABS*, ξένῳ A_2 14 ἀποπίπτουσαν εἶναι *X* 21 πολέμαι *A*, corr. A_2

X 61. Ὁ Φίλιππος δύεσθαι τῇ πρὸ ἐννέα Καλενδῶν Rr IV 43
Ἀπριλίων τὰς ὑάδας μετὰ νότου, ἀνίσχειν δὲ λέγει ὁ
Μητρόδωρος. τῇ πρὸ ὀκτὼ Καλενδῶν ἰσημερία ἐαρινή.
Y 62. Ὅτι ψαλίς ἐστιν οἰκοδομῆς εἶδος ἡμικυλίνδρου III 33
τὸ σχῆμα ἐχούσης.
63. Ὅτι ἡ Δημήτηρ πόλεώς ἐστι καταρκτικὴ οἱονεὶ 34
ἡ γῆ· ὅθεν καὶ πυργοφόρον αὐτὴν γράφουσι. λέγεται
δὲ καὶ Κυβέλη ἀπὸ τοῦ κυβικοῦ σχήματος κατὰ γεω-
μετρίαν ἡ γῆ, διὰ τὸ βάσιμόν τε καὶ στάσιμον· εἰ καὶ
σφαιρικὴν οἱ Στωϊκοὶ ταύτην ὁρίζονται.

X **Ἀπρίλιος.**

XS 64. Τοῦ πρώτου μηνός, ὡς ἐλέγομεν, κατὰ τὴν τῆς IV 44
μονάδος ἐξοχὴν ταῖς τιμαῖς τῶν νοητῶν ἀνατεθέντος,
εἰκότως ὁ μετ' αὐτὸν τουτέστιν ὁ δεύτερος, ὃν πατρίως
Ῥωμαῖοι Φεβρουάριον καλοῦσι, κατὰ τὸ ἄπειρον τοῦ
ἀριθμοῦ Πλούτωνι καὶ τοῖς καταχθονίοις ἀφωρίσθη.
X Ἀΐδην δὲ αὐτὸν καλοῦσιν· ἡ γὰρ δυὰς ὡς ἀνείδεος
καὶ ἀοριστός ἐστιν, ὅθεν αὐτὸς τῶν ἀειδῶν καὶ ἀπό-
στασιν ἀπὸ τῶν θείων ἐσχηκότων βασιλεὺς εἶναι λέ-
γεται. ὀρθῶς οὖν ὁ Φιλόλαος τὴν δυάδα Κρόνου σύν-
ευνον εἶναι λέγει, ὃν κατὰ τὸ προφανὲς χρόνον ἄν
τις εἴποι. συνάπτεται δὲ τῷ χρόνῳ ἡ δυὰς ὡς τῆς
φθορᾶς αἰτίῳ· μήτηρ δὲ αὐτὴ τυγχάνει τῆς ῥευστῆς
XS οὐσίας. τὸν δὲ τρίτον, τουτέστι τὸν Μάρτιον, εἴτε

v. 1 et 3 Philippus et Metrodorus Wachsmuth de ost. p. 296 nr. 15 10 Stoici Doxogr. gr. 376ᵃ 22

v. 2 δὲ omis. *A* 4 ψαλλὶς *F* | ἡμικύλινδρον *F* 12 ὅτι τοῦ πρώτου *S* | λέγωμεν *A* 17 Ἀΐδην — 24 οὐσίας omis. *S* 19 ἀπὸ τῶν *A*, ἐκ τῶν *B* | ὁ βασιλεὺς *B* 21 ἄν τις] ἄντης *A* 23 αὐτῷ A_2 *B*, αὐτη *A*

κατὰ τὸν πρῶτον περιττόν, εἴτε ὡς πάτριον θεὸν XS
τὸν Ἄρην, εἰς τοῦτο τάξεως ἀριθμοῦ ἀνέθεντο· ἡ γὰρ
τριὰς ἀρχὴ ἀριθμοῦ· ὥστε οὐκ ἔξω φιλοσοφίας τὸν X
Ἄρεα ζευγνύουσι τῇ Ἀφροδίτῃ· τῇ γὰρ δυάδι συνελ- XS
θούσης μονάδος πρῶτος ἀριθμὸς ἐτέχθη, ὃς καλεῖται
ὑπ' ἐνίων τέλειος, ὅτι πρῶτος τὰ πάντα σημαίνει, καὶ
πρῶτος ἔδειξεν ἀρχὴν μέσα τέλος· εἰκὼν γάρ ἐστιν S
ἐπιπέδου καὶ πρώτη ὑπόστασις ἐν τριγώνοις· τρία γὰρ
αὐτῶν γένη· ἰσόπλευρον ἰσοσκελὲς σκαληνόν. τὸν δὲ X
τέταρτον, ⟨ὃν⟩ Ἀπρίλιον ὀνομάζουσι, κατὰ τὴν τῶν στοιχείων φύσιν τῷ τετάρτῳ ἀριθμῷ ἀνέθεντο, τουτέστιν Ἀφροδίτῃ· ἡ γὰρ τοῦ παντὸς αἰσθητοῦ φύσις ἐκ τεσσάρων ἐστὶ στοιχείων, αὕτη δ' ἂν εἴη κατὰ τοὺς φυσιολόγους Ἀφροδίτη. πρῶτος οὖν τετράγωνος ἀριθμὸς οὗτος καὶ τετρακτύς, ἀλλὰ μὴν καὶ πρῶτος ἔδειξε τὴν στερεὰν φύσιν· σημεῖον γάρ, εἶτα γραμμή, εἶτα ἐπιφάνεια, εἶτα στερεόν, ὅ ἐστι σῶμα. ἐκ τεσσάρων δὲ ἡ τοῦ ..... τέταρτον ἀριθμὸν Ἀφροδίτῃ τουτέστι τῇ φύσει τῶν πραγμάτων ἀνέθεντο. ἀνθ' ὅτου δὲ οὕτως ἔδοξε Ῥωμαίοις τὸν τέταρτον ὀνομάσαι μῆνα, διὰ βραχέων ἐρῶ· τέως δὲ κατὰ τὸ πρόσθεν ἐπηγγελμένον ὀλίγα ἄττα περὶ τῆς κατὰ Ἀφροδίτην θεωρίας διαλήψομαι. οἱ φυσικοὶ τοιγαροῦν τὸν ἐαρινὸν εἶναι καιρὸν τὴν Ἀφροδίτην βούλονται· οὗτος δ' ἂν εἴη ὁ ἐν ταύρῳ ἥλιος· καὶ ἀποστρεφομένην αὐτὴν τὸν Ἄρεα ποιοῦσιν, ὡς ἐλέγομεν, τὸν Ἄρεος μῆνα — οὗτος δ'

v. 1 καθὼς *S*, κατὰ *X* 2 τὸν Ἄρην omis. *X* 3 ὥστε οὐκ — 4 Ἀφροδίτῃ omis. *S* 7 καὶ τέλος *S* | εἰκὼν — 9 σκαληνὸν desunt *X* 9 σκαληνόν. cet. des. *S* 10 ⟨ὃν⟩ addidi | ὠνομάζουσι *A* 13 ἐκ τῶν τεσσάρων *B* 18 nonnulla intercidisse patet | τετάρτου ἀριθμοῦ *B* 21 τὸν πρόσθεν *X*, corr. Hasius 25 ἀέρα *B*, ἄρεα *A* 26 λέγομεν *X*, corr. *Rr*

X *ἂν εἴη ὁ Μάρτιος —, προστιθεμένην δὲ τῷ Ἀδώνιδι, τουτέστι τῷ Μαΐῳ, καθ' ὃν ἤδη καὶ ἐαρίζει τὰ ὄρνεα· τοῦτον δὲ ἀναιρεθῆναι ὑπὸ τοῦ Ἄρεος μεταβληθέντος εἰς ὗν, οἱονεὶ τὸ ἔαρ ὑπὸ τοῦ θέρους ἀναιρεῖσθαι· θερμὴ γὰρ ἡ φύσις τοῦ ὑὸς καὶ ἀντὶ τοῦ θέρους αὐτὸν οἱ μυθικοὶ λαμβάνουσιν. ἢ ὡς ἄλλοις δοκεῖ, Ἄδωνις μέν ἐστιν ὁ καρπός, Ἄρης δὲ ὁ σῦς· πολέμιον δὲ τὸ ζῷον τοῖς καρποῖς, ὥσπερ σωτήριος βοῦς· καὶ διὰ τοῦτο Αἰγύπτιοι ἔτι καὶ νῦν βοῶν μὲν ὡς ἐπίπαν ἀπέχονται, τοῖς δὲ ὑείοις ὡς μάλιστα πρὸς ἐδωδὴν κατακέχρηνται. Εὐριπίδης δὲ Ἀφροδίτην αὐτὴν ἀξιοῖ ὀνομασθῆναι ἐκ τοῦ ἄφρονας τοὺς ἐρῶντας ἀποτελεῖν. ὁ δὲ Χρύσιππος οὐ Διώνην ἀλλὰ Διδόνην αὐτὴν ὀνομάζεσθαι ἀξιοῖ παρὰ τὸ ἐπιδιδόναι τὰς τῆς γενέσεως ἡδονάς, Κύπριν δὲ ὀνομασθῆναι παρὰ τὸ κύειν παρέχειν, καὶ Κυθηρείην ὁμοίως, παρὰ τὸ μὴ μόνον ἀνθρώποις ἀλλὰ καὶ θηρίοις τὸ κύειν ἐπιδιδόναι. ἔνθεν Ἑρμῆς ἐν τῇ κοσμοποιΐᾳ τὰ μὲν ὑπὲρ ὀσφὺν ἄρρενα τῆς Ἀφροδίτης, τὰ δὲ μετ' αὐτὴν θήλεα παραδίδωσιν· ὅθεν Πάμφυλοι καὶ πώγωνα ἔχουσαν ἐτίμησαν Ἀφροδίτην ποτέ· τεχθῆναι δ' αὐτὴν ἀξιοῦσιν ἀπὸ τῶν Κρόνου μηδέων, τουτέστιν ἀπὸ τοῦ αἰῶνος, ἡ δὲ φύσις τῶν πραγμάτων ἀΐδιος καὶ ἄφθαρτος. βενίσαι τὸ ἀφροδισιάσαι παρὰ τῷ πλήθει λέγεται. ὁ δὲ Πλάτων δύο παραδίδωσιν Ἀφροδίτας, Οὐρανίαν καὶ Πάνδημον· καὶ τὴν μὲν τοῖς θεοῖς, τὴν δὲ τοῖς ἀνθρώποις παρέπεσθαι· οἱ δὲ ἄλλοι*

v. 11 Eur. Troad. 989 24 Plato Symp. p. 180 D

v. 1 *τῷ*] *τὸ B* 8 *σωτηρὶ ὁ βοῦς A*, corr. A_2 18 *Ἑρμῆς* — 20 *Ἀφροδίτην ποτέ* Lambecius in Codinum p. 153 nr. 28 20 *πάμφιλοι* X, *παμφίλιοι* Lamb., corr. Hasius; similia huius loci habet R f. 4[v]

τῶν ποιητῶν τέσσαρας παραδιδόασι· μίαν μὲν ἐξ Οὐ- X ρανοῦ καὶ Ἡμέρας τεχθεῖσαν, ἑτέραν δὲ ἐξ ἀφροῦ, ἐξ ἧς καὶ Ἑρμοῦ Ἔρως ἐτέχθη· τρίτην Διὸς καὶ Διώνης, ἐξ ἧς καὶ Ἄρεος τεχθῆναί φασιν Ἀντέρωτα· τετάρτην τὴν Συρίας καὶ Κύπρου, τὴν λεγομένην Ἀστάρτην. ἄλλοι δέ φασι, πρώτην μὲν τοῦ Οὐρανοῦ καὶ Ἡμέρας Οὐρανίαν καλουμένην, δευτέραν δὲ Ἀφροῦ καὶ Εὐρυνόμης τῆς Ὠκεανοῦ, καὶ τρίτην τὴν συναφθεῖσαν Ἑρμῇ τῷ Νείλου, ἐξ ἧς καὶ ὁ δεύτερος Ἔρως ὁ ὑπόπτερος, τετάρτην Διὸς καὶ Διώνης, ἣν ἔγημεν Ἥφαιστος, λάθρᾳ δὲ αὐτῇ συνελθὼν Ἄρης ἔτεκε τὸν Ἀντέρωτα. καλεῖται δὲ πολλαχοῦ καὶ Πασιφάη, ἡ πᾶσιν ἐπαφιεῖσα τὴν ἡδονήν· καὶ Ἐρυκίνη παρὰ τὸ τοὺς ἔρωτας κινεῖν. ἀπ' αὐτῆς δὲ καὶ Ἑρμοῦ τὸν Ἑρμαφρόδιτον τεχθῆναι λόγος, οἷον τὸν εὔφραδῆ καὶ ἀστεῖον λόγον, τὸν ἐξ ἡδονῆς τὸ τραχὺ θηλύνοντα. τὸν δὲ ταύτης ἀστέρα τῇ σελήνῃ παρέπεσθαί φασι διὰ τὰς νυκτερινὰς συναφείας, ὅθεν καὶ σκιὰν αὐτὸν ἀποτελεῖν διὰ τὸ σωμάτων εἶναι παρεκτικόν. ἱερούργουν δὲ αὐτῇ χῆνας καὶ πέρδικας, ὅτι αἱ μὲν τοῖς ὕδασι χαίρουσι — πελαγία δὲ ἡ Ἀφροδίτη — οἱ δὲ ταῖς φωναῖς τῶν θηλείων ἀγόμενοι ἁλίσκονται. τοσαῦται μὲν τοῖς παλαιοῖς αἱ περὶ Ἀφροδίτης κατὰ μυθικὴν καὶ φυσικὴν θεωρίαν δόξαι. οἱ δὲ φιλόσοφοι Διώνην τὴν Ἀφροδίτην εἶναί φασι τὴν διὰ πάντων οὖσαν τῶν ὄντων φύσιν· τεχθῆναι δὲ αὐτὴν ἐκ τῶν Οὐρανοῦ μηδέων καὶ τῆς θαλάσσης, τουτέστιν ἐξ ἀρτίου ἀριθμοῦ καὶ περιττοῦ· καὶ περιττοῦ μὲν ἐκ τοῦ εἴδους, ἀρτίου δὲ

v. 4 ἀνθέρωτα *X* 5 τὴν συρίαν *A*, τῆς συρίας *B* 9 τοῦ *X*, τῷ corr. Gu. Kroll 11 ἀνθέρωτα *X* 13 ἐρικίνη *B* 23 καὶ φυσικὴν] φασὶ *B* 26 τεθῆνε *A* 27 sq. καὶ περιττοῦ semel tantum legitur in *A*

X ἐκ τῆς θαλάσσης, τουτέστι τῆς ἀπείρου ὕλης. Κίγκιος
δὲ ὁ Ῥωμαῖος σοφιστής φησι τὴν Ἀφροδίτην ἐξ ἀφροῦ
τεχθῆναι, οἱονεὶ ἐκ τοῦ χιονώδους ἀέρος καὶ τῆς ψυχρᾶς
οὐσίας τὸ ἔαρ ἀποτεχθῆναι. τοσαῦτα περὶ Ἀφροδίτης.
HS ὅτι τὸν Ἀπρίλιον παρ' Αἰνείου πρὸς τιμὴν τῆς μη-
τρὸς αὐτοῦ οἱονεὶ ἀφροδίσιον, τινὲς δὲ παρὰ τοῦ Ῥω-
μύλου οὕτως ὀνομασθῆναι βούλονται· τοῦ πρώτου γὰρ
μηνὸς δῆθεν ἀνατεθέντος Ἄρει εἰκὸς ἦν τὸν δεύτερον
XHS Ἀφροδίτῃ ἀνατεθῆναι. οὕτως μὲν οὖν Ἕλληνες, οἱ δὲ
Ῥωμαῖοι Ἀπρίλιον ὡσανεὶ Ἀπερίλιον ἀντὶ τοῦ ἀνοικτι-
HS κὸν τοῦ καιροῦ φασιν· ἐγκεκλεισμένης γὰρ ὥσπερ τῷ
χείματι τῆς φύσεως τὸ ἔαρ ἐξανοίγειν τὰ πράγματα
S πέφυκεν. εἰκὸς δὲ ἦν τῷ τοῦ Ἄρεος μηνὶ συζευχθῆναι
τὸν τῆς Ἀφροδίτης ὡς εἴρηται· διότι, ὥς φασιν Αἰγύπτιοι,
διὰ τῆς πραότητος τῆς Ἀφροδίτης πραΰνεται ὁ τοῦ Ἄρεος
X ἀστήρ. ἐν δὲ τοῖς ὕμνοις ἐγγὺς τριακοσίοις ὀνόμασιν
XY εὑρίσκομεν καλουμένην τὴν Ἀφροδίτην. οἱ δὲ Φοί- Rr III 35
νικες Ἀστάρτην, τὴν σφῶν πολιοῦχον — οἱονεὶ τὴν
ἀστερίαν ἢ τὴν τοῦ ἄστεος ἀρετήν — εἶναι τὴν Ἀφρο-

v. 1 Cincius FHG III p. 97

v. 4 περὶ ἀφροδίτης (ἀφροδίτη *A*) ἀνατεθῆναι οὕτως μὲν (v. 9) *X* 5 τὸν ἀπρίλλιον ἀφροδίτῃ ἀνετίθουν· φασὶ δὲ τὸν ἀπρίλλιον παρὰ τοῦ αἰνείου πρὸς τιμὴν τῆς μητρὸς αὐτοῦ ὀνομασθῆναι οἱονεὶ etc. *H* f. 165v, ὅτι τὸν ἀπρίλλιον — p. 119, 9 θαλάσσης *S* | πρὸς τιμὴν — 6 ἀφροδίσιον omis. *S* 7 βούλονται οἱονεὶ ἀφροδίσιον *S* 8 δῆθεν omis. *H* 9 οὖν omis. *S* | ἀπρίλλιος δὲ οἱονεὶ ἀπερίλιος· ἀπερίρε γὰρ τὸ ἀνοῖξαι· ὁ ἀνοικτικὸς τοῦ ἔαρος. ἀνάκειται δὲ τῇ ἀφροδίτῃ *Y* | καὶ οὕτω μὲν ἕλληνες ἱστοροῦσιν *H* 10 ἀπρίλιον αὐτὸν ὡσανεὶ *X* | ὡσανεὶ Ἀπερίλιον omis. *H* | ἀντὶ τοῦ *HS*, οἱονεὶ *X* | ἀνοικτικοῦ *S* 11 ἐγκεκλεισμένου γὰρ ὥσπερ ἡδονὴν ἐν δὲ τοῖς (v. 16) *X* 12 χειμῶνι *H* 13 ἀνοίγειν αὐτὴν πέφυκεν. cet. des. *H* 16 ἐν δὲ τοῖς — p. 119, 1 βούλονται omis. *S* 18 πολιτῆχον *A* | ὅτι ἀστάρτην τὴν συρίαν θεὸν τὴν ἀφροδίτην φασὶ cet. des. *Y* | τὴν ἀστερίαν] τὴν omis. *B*

δίτην βούλονται. ἐκ γὰρ τοῦ Λιβάνου — ὄρος δέ XS
ἐστιν ἐκεῖ ἐκ τῆς πρὸς λίβα νεύσεως οὕτω καλούμενον
— δύο ποταμοὶ ἐκπίπτουσιν ἐπὶ τὴν θάλασσαν, ὧν
ὁ μὲν μείζων καὶ διειδέστερος Ἄδωνις, ὁ δὲ ἐλάσσων
καὶ γεωδέστερος Ἄρης προσαγορεύεται. ἐμπίπτων δὲ S
ὁ Ἄρης τῷ Ἀδώνι οὐ διασώζει τὴν οἰκείαν προσηγορίαν
ἄχρι θαλάσσης. ἐπεὶ οὖν Ἄδωνις ὅλος ἐμμίγνυται τῷ XS
πελάγει, δοκεῖ μᾶλλον αὐτὸς ἀγαπᾶσθαι πρὸς τῆς Ἀφρο-
δίτης ἀντὶ τοῦ τῆς θαλάσσης.

RrIV45 65. *Ταῖς τοίνυν Καλένδαις Ἀπριλίαις αἱ σεμναὶ γυ-* X
ναικῶν ὑπὲρ ὁμονοίας καὶ βίου σώφρονος ἐτίμων τὴν
Ἀφροδίτην· αἱ δὲ τοῦ πλήθους γυναῖκες ἐν τοῖς τῶν
ἀνδρῶν βαλανείοις ἐλούοντο πρὸς θεραπείαν αὐτῆς
μυρσίνῃ ἐστεμμέναι, ἢ ὅτι μυρσίνη ἐπιτηδεία τοῖς βρέ- XS
φεσίν ἐστι — ῥώννυσι γὰρ τὰ σώματα τῶν ἀρτιγενῶν,
καὶ παρὰ τὰ ἄλλα δὴ τῶν ἀειθαλῶν φυτῶν εὐωδεστάτη
τυγχάνει ἡ μυρσίνη — ἢ ὅτι μόνη ἐν φυτοῖς χαίρει
τῇ θαλάσσῃ. ἐτιμᾶτο δὲ ἡ Ἀφροδίτη τοῖς αὐτοῖς, οἷς X
καὶ ἡ Ἥρα· ἐν δὲ τῇ Κύπρῳ πρόβατον κῳδίῳ ἐσκε-
πασμένον συνέθυον τῇ Ἀφροδίτῃ — ὁ δὲ τρόπος τῆς
ἱερατείας ἐν τῇ Κύπρῳ ἀπὸ τῆς Κορίνθου παρῆλθέ
ποτε — εἶτα δὲ καὶ σύας ἀγρίους ἔθυον αὐτῇ διὰ τὴν
κατὰ Ἀδώνιδος ἐπιβουλήν, τῇ πρὸ τεσσάρων Νωνῶν
ἤγουν τῇ δευτέρᾳ ἡμέρᾳ τοῦ Ἀπριλίου.

v. 1 *ὅτι ἐκ τοῦ λιβάνου* *S* 2 *ἐκεῖ* omis. *S* | *τοῦ* *X*, *τῆς* *S* | *λιβάνου* *A*, *λίβαν* *BS*, *λίβα* scripsi | *ἄστεως* *X*, *νεύσεως* *S* 4 *διειδέστατος* *X* 5 *καὶ γὰρ γεωδέστερος* *B* | *ἐμπίπτων* — 7 *θαλάσσης* omis. *X* 7 *ἐπὶ οὖν* *A* 8 *αὐτὸν* *S* 14 *ὅτι ἡ μυρσίνη πέφυκε ῥωννύειν τὰ σώματα τῶν ἀρτιγενῶν· τῶν δὲ ἀειθαλῶν φυτῶν εὐωδεστάτη ἐστί· καὶ αὕτη ἐν τοῖς φυτοῖς χαίρει τῇ θαλάσσῃ* *S* | *ἢ ὅτι*] *ὅτι ἡ* *B* 15 *ῥώννυσι μὲν γὰρ* *B* 19 *ἐσκεπασμένον* *X*, *ἐσκεπασμένοι* ci. Robertson Smith, Lectures on the Religion of the Semites p. 450. 460, quem locum benigne mecum communicavit F. Cumont

S 66. Ὅτι οἱ φυσικοί φασι τὰς θηλείας τὰς κατ' εὐθὺ τὴν ἀναστόμωσιν τῶν ἀγγείων ἐχούσας τοκάδας εἶναι, τὰς δὲ ἐκ πλαγίου στείρας. deest Rr

XS 67. Τῇ πρὸ τριῶν Νωνῶν Ἀπριλίων Ἡρακλῆς ἐπινίκιος ἐτιμᾶτο οἷα ὑγείας δοτήρ. καὶ ῥαφάνων νόμος X κατὰ τὸν μῆνα τοῦτον ἀπέχεσθαι Ῥωμαίοις. Ἡρακλῆς δὲ ὁ χρόνος παρὰ τῷ Νικομάχῳ εἴρηται, ἀλλὰ μὴν καὶ ἥλιος, λέγοντι οὕτως· "Ἡρακλῆς μὲν οὖν ὁ τὴν περὶ τὸν ἀέρα κλάσιν τῇ τῶν ὡρῶν περιτροπῇ ποιούμενος, τουτέστιν ἥλιος.' διὸ δὴ καὶ ἐν τοῖς τούτου μυστηρίοις τοὺς ἄρρενας γυναικείαις στολαῖς κοσμοῦσιν, ἅτε δὴ ἐξ ἀγριότητος καὶ ἀγονίας τῆς κατὰ τὸν χειμῶνα ἀρχομένου τοῦ σπερματικοῦ τόκου θηλύνεσθαι. καὶ ταῦτα μὲν τῷ ἔαρι ἐτέλουν. τρία δὲ αὐτῷ μῆλα ἐν τῇ λαιᾷ ταῖν χεροῖν τῆς χρόνου δι' αὐτοῦ ἀναμερίσεως σύμβολον· μῆλον μὲν γὰρ διὰ τὴν πρὸς τὸν κριὸν αὐτοῦ συμπάθειαν, ἀρχὴ δὲ χρόνου ἐαρινὴ τροπή. καὶ ἄλλως δὲ τρία, ὅτι τριμερὴς ὁ χρόνος. ἀνάγειν δὲ λέγεται τὸν κύνα τὸν τρικέφαλον ἐκ τοῦ Ἅιδου, ὅτι φρουρητικὸς καὶ λυμαντικὸς ὁ χρόνος, ὥσπερ δὴ καὶ ὁ κύων· τρεῖς δὲ αὐτῷ κεφαλαί, ὅ τε παρελθὼν καὶ ὁ ἐνεστὼς καὶ ὁ μέλλων καιρός. καὶ ἄλλως δὲ τὰ τρία μῆλα ληπτέον ἐπὶ Ἡρακλέους κατὰ φιλόσοφον δόγμα, ὅτι τὰς τρεῖς περιόδους ὁ ἥρως ἀνύσας τοῦ πρακτικοῦ βίου τέλειος εἶναι δοκεῖ. ταύτῃ Rr IV 46

v. 4 ὅτι τῇ πρὸ — 6 ῥωμαίοις· ὅπως δὲ ἀπρίλλιος ὠνομάζετο εἴρηται S | Ἀπριλίων omis. B 5 ἐτιμᾶτο ἐπινίκιος S 8 λέγων X, corr. Sch 11 μυστηρίοις] μηροῖς B 12 ἀγορίας X, ἀγονίας Rr 14 περὶ ἀγάλματος τοῦ ἡρακλέους βαστάζοντος τῇ ἀριστερᾷ χειρὶ τρία μῆλα. τὸν ἡρακλέα τὸν χρόνον λέγουσιν, ὅς ἐστιν τριμερής· ἔαρ θέρος καὶ χειμών R f. 4v 15 ταῖν] τῶν A 17 κριὸν A, καιρὸν A_2 B 21 ὁ κύων] ὁ omis. B 23 μῆλα omis. A

καὶ τριέσπερος λέγεται κατὰ Λυκόφρονα, φησὶ γάρ· X

τριεσπέρου λέοντος, ὅν ποτε γνάθοις
Τρίτωνος ἠμάλαψε κάρχαρος κύων.

τὸ γὰρ τρισὶ νυξὶν ἐσπάρθαι τὸν Ἡρακλέα μυθικόν ἐστιν. Ἥβην δὲ καλλίσφυρον αὐτῷ δίδωσιν, οἱονεὶ τὴν δημιουργικὴν δύναμιν, καὶ τὸ καλὸν τὸ ἐγκόσμιον. ὁ δὲ στέφανος τελειότητος δεῖγμά ἐστι· διὸ δὴ θεοῖς XS καὶ βασιλεῦσι καὶ ἱερεῦσιν ἐδίδοτο πρώτως. τῆς δὲ X τύχης ἀφελομένης παρὰ τῆς ἀρετῆς τὸν στέφανον, οἱ ἱερεῖς τὸ λοιπὸν ἀποκειρόμενοι τὴν κόμην κύκλον τινὰ τριχῶν ἀντὶ στεφάνου τῇ κεφαλῇ περιποιοῦσι. δωδεκάμοχθόν γε μὴν αὐτόν φασι, διὰ τὸ τὰ δώδεκα ζωδία ἐκτρέχειν. καὶ τὴν Ἄλκηστιν δὲ τῷ Ἀδμήτῳ ἀναψυχώσας ἀποδίδωσιν, οἷον τῷ κόσμῳ τὴν ζωογόνον φύσιν ἐν τῷ χειμῶνι κατανεκρωθεῖσαν ὁ ἥλιος ἀποκαθιστῶν· Ἄδμητος γὰρ ὁ κόσμος παρὰ τὸ ἀκάμαντα εἶναι καὶ ἀείζωον. Αὐγείαν δὲ διαφθεῖραι λέγεται· καὶ γὰρ ἀνίσχων ὁ ἥλιος τὸν ὄρθριον διασκορπίζει καιρόν, ὃν οἱ πολλοὶ αὐγὴν ὀνομάζουσιν. ὑπὸ δὲ Εὐρυσθέως προστάττεται ὁ Ἡρακλῆς τοὺς δυοκαίδεκα ἄθλους ἐκτελεῖν, ἀντὶ τοῦ ὁ ἥλιος κελεύσει τοῦ μεγάλου θεοῦ, ἀντιβαινούσης τῆς Ἥρας — οἱονεὶ τῆς σφαίρας — ἀντίρροπος αὐτῇ τὸν δωδεκαζώδιον διαφεύγει οὐρανόν. οὕτως μὲν οἱ φιλόσοφοι. ἀπὸ δὲ τῶν ἱστοριῶν εὑρίσκομεν ἑπτὰ Ἡρακλεῖς γενέσθαι, πρῶτον Διὸς τοῦ Αἰθέρος καὶ Λυσιθόης τῆς Ὠκεανοῦ, δεύτερον Νείλου

v. 1 Lycophr. Alexandra v. 33. 34

v. 7 ὅτι ὁ στέφανος — 8 ἐδίδοτο *S* | 7 ἐστι omis. *S* 8 καὶ ἱερεῦσιν omis. *S* 10 τὸ λοιπὸν] τὸ omis. *B* 12 μῆνα *B* | τὸν τὰ δώδεκα *X*, corr. *Rr* 13 ἐτρέχειν *A* | ἀλκίστην *X* 16 ἀδάμαντα suspicatur G. Wissowa 17 αὐγέαν *X* 23 δωδεκάζωδον *B* 25 πρῶτος *B*

X *παῖδα, τρίτον Ἕλληνος τοῦ Διὸς καὶ νύμφης Ἀγχιάλης, τέταρτον Διὸς καὶ Θήβης τῆς Αἰγυπτίας, πέμπτον τὸν Λιβάνου καὶ Νύσσης τὸν ἐν Ἰνδοῖς γενόμενον, ἕκτον Διὸς καὶ Ἀλκμήνης, ἕβδομον Διὸς καὶ Μαίας τῆς Ἄτλαντος.*

S 68. *Ὅτι ὁ Ἀπελλῆς γράφων τὰς Χάριτας τρεῖς* deest Rr *οὔσας, Ἀγλαΐαν Εὐφροσύνην Θάλειαν, μίαν μὲν ποιεῖ ἀπιοῦσαν, δύο δὲ ἐρχομένας· μιᾶς γὰρ διδομένης χάριτος πλείους ἐπανίασι τοῖς δεδωκόσιν.*

69. *Ὅτι πῦρ … ῥησσομένων πνευμάτων τοῖς νέ-* deest Rr *φεσιν ἀποθλίβονται οἱ κεραυνοί.*

X 70. *Ἡ δὲ Μίλητος τὸ πρὶν ἐκαλεῖτο Ἀνακτορία.* Rr IV 47

71. *Ἀμάλθειαν δὲ τροφὸν Διός, τὴν ἅμα καὶ* 48 *ἀθρόως καὶ ἑνὶ χρόνῳ τὰ ὄντα τῷ Διὶ αὔξουσαν· ἄλθειν γὰρ τὸ αὔξειν. Κράτης δὲ ἀπὸ τοῦ διαίνειν τουτέστι πιαίνειν τὴν γῆν βούλεται ὀνομασθῆναι τὸν Δία, τὸν εἰς πάντα διήκοντα· Ποσειδώνιος τὸν Δία τὸν πάντα διοικοῦντα· Χρύσιππος δὲ διὰ τὸ δι' αὐτὸν εἶναι τὰ πάντα. ἄλλοι τὸν Δία βούλονται ὀνομασθῆναι ἀπὸ τοῦ δεῖν, τουτέστι δεσμεύειν καὶ συνέχειν τὸ σύμπαν αἰσθητόν· ἄλλοι ἀπὸ τοῦ ζῆν. τινὲς δὲ κατὰ τὸν ἡρωϊκὸν καὶ μεριστὸν λόγον τρεῖς Δίας εἶναι βούλονται, ἕνα μὲν Αἰθέρος, τὸν δὲ ἕτερον ἐν Ἀρκαδίᾳ τεχθῆναι, ἐξ οὗ φασιν Ἀθηνᾶν, τρίτον δὲ τὸν Κρῆτα.*

v. 15 Crates: Wachsmuth de Cratete Mallota frg. 8

v. 1 *ἀγχιάδης,* *A*, corr. A_2 3 *τοῦ λιβάνου* *B* | *ἰνδοῖς*] *ἰυλοῖς* *B* 4 *ἀλκμένης* *B* 10 *πυρησσομένων* *S*, lacunam indicavi 13 *ἀμαλθίαν* *B* | *τὴν τοῦ ἅμα* *X*, *τοῦ* del. *Rr* 14 *ἄλδειν* *X*, *ἄλθειν* *Rr* 17 *τὸν εἰς — τὸν Δία* omis. *B* 18 *χρύσιππος δία τοῖονὺ τὰ πάντα* *A*, *χρύσιππος δὲ διὰ τὸ οἰωνεῖν τὰ πάντα* *B*, corr. *Rr* 21 *ζεῖν* *A* 22 *ἡροικὸν* *A* 24 *κρήτην* *A*

οἱ δὲ Φοίνικες βασιλέα φασὶν αὐτὸν γενέσθαι δικαιότατον, ὥστε τὴν περὶ αὐτοῦ δόξαν κρείττονα γενέσθαι τοῦ χρόνου· ταύτῃ Κρόνον ἐκβαλεῖν τῆς βασιλείας λέγεται, οἱονεὶ τὸν χρόνον καὶ τὴν ἐξ αὐτοῦ λήθην ὑπερβαλεῖν. ὁ δὲ † Μηλίας ὑπὸ Ἀμαλθείας αὐτὸν τραφῆναι, οἷον ἐκ τῆς δυνάμεως, τουτέστιν ἐκ τῆς ἀμαλακιστίας. ὁ δὲ Κράτης τὸν Κρόνον φησὶ Σικελίας καὶ Ἰταλίας καὶ τοῦ πλείστου μέρους τῆς Λιβύης βασιλεῦσαι ἀπηνῶς, τὸν δὲ τούτου υἱὸν ἐπιθέσθαι τῷ πατρὶ καὶ αὐτὸν μὲν εἰς ἔσχατον ἐλάσαι τῆς δύσεως, ἡμερώτατα δὲ τῆς βασιλείας ἀντιλαβέσθαι, καὶ διὰ τοῦτο τιμηθῆναι ὡς θεόν. Ἐρατοσθένης γε μὴν τὸν Δία ἐν τῇ Κρήτῃ τεχθῆναι λέγει, κἀκεῖθεν διὰ τὸν Κρόνου φόβον μετενεχθῆναι εἰς Νάξον. Εὔμηλος δὲ ὁ Κορίνθιος τὸν Δία ἐν τῇ καθ' ἡμᾶς Λυδίᾳ τεχθῆναι βούλεται, καὶ μᾶλλον ἀληθεύει ὅσον ἐν ἱστορίᾳ· ἔτι γὰρ καὶ νῦν πρὸς τῷ δυτικῷ τῆς Σαρδιανῶν πόλεως μέρει ἐπ' ἀκρωρείας τοῦ Τμώλου τόπος ἐστίν, ὃς πάλαι μὲν Γοναὶ Διὸς ὑετίου, νῦν δὲ παρατραπείσης τῷ χρόνῳ τῆς λέξεως Δεύσιον προσαγορεύεται. φύλακες ἦσαν οἱ Κούρητες. ἄλλοι Προμηθέως φασὶν εἶναι υἱὸν οἱονεὶ τῆς προνοίας. οἱ δὲ πλεῖστοι τῶν φυσικῶν τὸν Δία Ἰδαῖον εἶναι βούλονται καὶ τεχθῆναι ἐν τῇ Ἴδῃ, τουτέστιν ἐν τῷ παρὰ Ἴδῃ δρωμένῳ οὐρανῷ. τῆς δὲ

v. 7 Crates ibid. frg. 9 12 Eratosthenes Catast. 30 14 Eumelus frg. XVII Marckscheffel

v. 1 ὅτι οἱ φοίνικες δία τινὰ γενέσθαι φασὶ βασιλέα τοσοῦτον δικαιότατον — 4 ὑπερβαλεῖν *S* 3 ταύτῃ — 4 τὸν χρόνον omis. *B* | καὶ ταύτῃ *S* | ἐκβάλλειν *S* 4 τοῦ χρόνου *A*, τὸν χρόνον *S* 5 Μηλισίας ci. Creuzer. an Ἀμέλιος? cf. IV, 85 6 ἀμαλακίας *X*, corr. *Rr* 9 πείθεσθαι *X*, ἐπιθέσθαι *Rr* 11 καὶ αὐτὸν διὰ τοῦτο *B*, καὶ δὲ τοῦτο *A* 17 μένει *X*, μέρει *Rr* 18 τιμώλου *A* 23 ἤδιον *A*, ἰδαῖον *B* 24 ἤδιον *A*, ἴδη *B*

X Κόρης πατέρα αὐτόν φασιν, τουτέστι τοῦ κόρου καὶ τῆς εὐωχίας αἴτιον αὐτὸν γενέσθαι· πρῶτος γὰρ βασιλεύσας λέγεται τοὺς ἀνθρώπους διδάξαι γεωργεῖν. πολλοὶ δὲ ἐκ τοῦ ὅλου Διὸς Δίοι, ὥσπερ Ἀπόλλωνες ἢ Διόνυσοι.

72. Τῇ πρὸ δεκαεπτὰ Καλενδῶν Μαΐων οἱ ἀρχιερεῖς Rr IV 49 ἐπὶ τὸ θέατρον γενόμενοι ἄνθη ἐπὶ τὸν δῆμον ἐρρίπτουν καὶ περὶ τὰ σπόριμα δὲ ὑπὲρ εὐετηρίας ἱεράτευον, καὶ ἔξωθεν τῆς πόλεως ἐπὶ ὡρισμένους σταθμοὺς ηὔχοντο ἱερατεύοντες Δήμητρι· ὄνομα δὲ τῇ X S θυσίᾳ Φορδικάλια. τούς γε μὴν σταθμοὺς μίλια πα- X τρίως ἐκάλουν, ἀπὸ τῆς χιλιάδος τῶν βημάτων. ὅθεν καὶ μίλιτες οἱ στρατιῶται παρ' αὐτοῖς· χιλίους γὰρ ὑπασπιστὰς ὁ Ῥωμύλος μόνους ἔταξε καὶ μίλιτας αὐτοὺς ἀπὸ τοῦ ἀριθμοῦ ἐκάλεσεν οἱονεὶ χιλίους, τὸ πρὶν σατέλλιτας προσαγορευομένους· καὶ γὰρ ἐν χιλιάσι τὸ πλῆθος, οὐ μυριάσιν ἡ παλαιότης ἠρίθμησεν, ὡς αὐτὸς Ὅμηρος·

ὅσσον τ' ἐννεάχιλοι ἐπίαχον ἢ δεκάχιλοι.

ὁ γὰρ μυρία ἀριθμὸς ἀοριστίας ἐστὶ δεκτικός.

73. Τῇ πρὸ δεκαμιᾶς Καλενδῶν Μαΐων ὁ Ῥωμύλος τὴν 50 Ῥώμην ἐπόλισε, πάντας τοὺς πλησιοχώρους συγκαλεσάμενος ἐντειλάμενός τε αὐτοῖς ἐκ τῆς ἑαυτῶν χώρας βῶλον ἐπικομίσασθαι, ταύτῃ πάσης χώρας δεσπόσαι τὴν Ῥώμην οἰωνιζόμενος· αὐτός τε ἱερατικὴν σάλπιγγα

v. 19 Il. E, 860

v. 5 διονύσιοι *B* 7 γινόμενοι *A* 11 φορκιδάλια *A*, corr. A_2 marg. | ὅτι οἱ ῥωμαῖοι μίλια πατρίως — 12 βημάτων τοὺς σταθμούς *S* | μίλια *AS*, μιλιάρια A_2 *B* 16 σαβέλλιτας *X*, σατέλλιτας suspicatus est *Rr* 19 ὅσον *A* | ἐννεαχίλιοι *B* | δεκαχίλιοι *X* 25 οἰκνιζόμενος *B*, corr. οἰονιζόμενος | αὐτός γε *B*

ἀναλαβών — λίτουον δ' αὐτὴν πατρίως Ῥωμαίοις ἔθος X
καλεῖν ἀπὸ τῆς λιτῆς — ἐξεφώνησε τὸ τῆς πόλεως ὄνομα, πάσης ἱερατικῆς τελετῆς ἡγησάμενος. ὀνόματα δὲ τῇ πόλει τρία, τελεστικὸν ἱερατικὸν πολιτικόν· τελεστικὸν μὲν οἱονεὶ Ἔρως, ὥστε πάντας ἔρωτι θείῳ περὶ τὴν πόλιν κατέχεσθαι, διὸ καὶ Ἀμαρυλλίδα τὴν πόλιν ὁ ποιητὴς αἰνιγματωδῶς βουκολιάζων καλεῖ· ἱερατικὸν δὲ Φλῶρα οἱονεὶ ἄνθουσα, ὅθεν κατὰ ταύτην ἡ τῶν Ἀνθεστηρίων ἑορτή· πολιτικὸν δὲ Ῥῶμα. καὶ τὸ μὲν ἱερατικὸν πᾶσιν ἦν δῆλον καὶ ἀδεῶς ἐξεφέρετο, τὸ δὲ τελεστικὸν μόνοις τοῖς ἀρχιερεῦσιν ἐξάγειν ἐπὶ τῶν ἱερῶν ἐπετέτραπτο· καὶ λόγος, ποινὰς ὑποσχεῖν τινα τῶν ἐν τέλει ποτέ, ἀνθ' ὧν ἐπὶ τοῦ πλήθους τὸ τελεστικὸν ὄνομα τῆς πόλεως ἀναφανδὸν ἐθάρρησεν ἐξειπεῖν. μετὰ δὲ τὴν ἐπὶ τῇ ἀναγορεύσει τῆς πόλεως τελετὴν ζεύξας ταῦρον μετὰ δαμάλεως περιῆλθε τὸ τεῖχος, τὸν μὲν ἄρρενα ἐπὶ τὴν τοῦ πεδίου πλευρὰν ζεύξας, τὴν δὲ θήλειαν ἐπὶ τὸ τῆς πόλεως μέρος, ὥστε τοὺς μὲν ἄρρενας τοῖς ἔξω γίνεσθαι φοβερούς, τὰς δὲ θηλείας τοῖς ἔνδον γονίμους· καὶ λαβὼν βῶλον ἐκ τῶν ἔξω τῆς πόλεως μερῶν σὺν καὶ ταῖς πρὸς τῶν ἄλλων ἐπικομιζομέναις ἐπὶ τὴν πόλιν ἠκόντιζε, ταύτῃ οἰωνισάμενος, διὰ παντὸς αὐτὴν ἐκ τῆς τῶν ἔξωθεν ἐπαυξηθῆναι συνδόσεως, καὶ μετ' ὀλίγα. πολλῶν δὲ ξένων συνελθόντων ἐν αὐτῇ, οἱ τοῦ Ῥωμύλου λογάδες τὴν ἡμίσειαν τῆς ἑαυτῶν κτήσεως τοῖς ἐπήλυσι παρεχώρησαν, οἰκῆσαι τὴν Ῥώμην αὐτοὺς πείσαντες· οὓς ὁ Ῥω-

v. 6 ὁ ποιητής cf. Serv. Verg. Ecl. I 30

v. 4 πῇ πόλει *A* 8 ὅτι φλῶρα παρὰ ῥωμαίοις τὰ ἄνθη cet. des. *S* 13 ποτὲ] τούτου *B* 20 τοῖς omis. *B* 22 ἠκόντισε *A*

X μύλος πατρικίους πρώτους ἀνηγόρευσε διὰ τὸ εὐπατρί-
δας γενέσθαι, καὶ τὴν ἑαυτῶν περιουσίαν τοῖς ξένοις
ὑπὲρ τῆς πατρίδος ἐπιδοῦναι. Ἰλία, ἡ τοῦ Ῥωμύλου
μήτηρ.

S 74. Ὅτι πρὸς τοὺς ἀντιλέγοντας τῇ προνοίᾳ καὶ
μεμφομένους τουτοισὶ τοῖς ζωϋφίοις, ἀκρίσι λέγω καὶ
ἐρυσίβαις καὶ ὡς οὐ προσηκόντως φαίνονται παρηγ-
μένα, φησὶν ὁ Ἀπολλώνιος, ὅτι γελοῖόν ἐστιν ἐγκαλεῖν τῇ
προνοίᾳ, μᾶλλον δὲ καταγέλαστον, εἰ ψύλλαι γεγόνασι
καὶ κόρεις· ἔδει γὰρ ἵνα μὴ ψύλλαι γένωνται ζῷον
μηδ' ὅλως γενέσθαι, μηδ' ἵνα κόρεις ἀνθρώπους·
SX ἐπειδὴ ἐκ μὲν τῆς ἀνθρώπου πρὸς ἔνια τῶν ξύλων Rr IV 51
παρατρίψεως κόρεις γίνονται, ἐκ δὲ παντὸς οὔρου
ψύλλαι, μυῖαι δὲ ἐξ ἀποπάτου ἢ καὶ ἄλλης θερμῆς
ὑγρασίας.

X 75. Ῥώμη Φλῶρα καὶ ἡ Κωνσταντίνου πόλις 51
ἤγουν Ἄνθουσα.

Μάϊος.

76. Οὐ μικρὰν ἐν ἀριθμοῖς ἐδείκνυμεν τὴν τῆς τε- 52
τράδος δύναμιν, ἣν ἄν τις καὶ τετρακτὺν καὶ πυρα-
μίδα καλέσοι· τετρακτὺν μὲν κατὰ τὸν τῶν στοιχείων
ὅρον, πυραμίδα δὲ κατὰ τὸν ἐν θεωρίᾳ λόγον· ἡ γὰρ
πυραμὶς ὑπὸ τεσσάρων βασέων καὶ τεσσάρων γωνιῶν
μόνη περιεχομένη, καὶ πρώτη τριχῇ διαστάτη κατὰ τὸ
στοιχειωδέστατον τοῦ τριγώνου ἐπίπεδον, ὡς ὁ Πλά-

v. 25 cf. Plato Tim. p. 55 A

v. 1 πρῶτος *B* 12 ἐκ μὲν τῆς ἀνθρώπων (ὁποιασοῦν *B*) πρὸς ἔνια etc. *X* 14 sq. θερμῆς ὑγρασίας *S*, θερμασίας *X* 17 ἤγουν omis. *B* 19 τριάδος *B* 23 γωνεῶν *B* 24 τριχῇ λιαστάτη *A*, τριχιλιαστάτη *B*, τριχῇ διαστάτη ci. Nokkius

των ἐν Τιμαίῳ φησίν, ἐμφερῆ τὴν συνεκτικὴν τοῦ X
παντὸς ἐνδείκνυται τάξιν. λείπεται ὁ πέμπτος, Μάϊον
δὲ αὐτὸν οἱ Ῥωμαῖοι καλοῦσιν. ἐπειδὴ δέ, ὡς πολλά-
κις εἰρήκαμεν, ὁ τῆς πεντάδος ἀριθμὸς τῶν θειοτέρων
κατὰ τὸν Ἡσίοδον κεχώρισται, εἰκὸς ἦν αὐτὸν τοῖς
κατοιχομένοις ἀπονεμηθῆναι. ἡ γὰρ πεντὰς τῇ αἰσθη-
τῇ φύσει ἀνάκειται, σφαῖρα γάρ ἐστιν· ὁσάκις γὰρ ἂν
τὸν πέντε πολυπλασιάσῃ τις ἀριθμόν, εἰς ἑαυτὸν ἀπο-
καταστήσεται· καὶ γὰρ ὁ πέντε παρεπόμενος τοῖς ἐν
πλήθει ἀριθμοῖς εἰς τὴν αὐτὴν καὶ πολυπλασιαζόμενος
καταλήγει ποσότητα. καὶ ἄλλως δὲ φαίνεται φυσικήν
τινα δύναμιν ἐν ἑαυτῷ ὁ πέντε περιλαβὼν ἀριθμός·
τῶν γὰρ ἐν γενέσει ἐξ ἀρτίου καὶ περιττοῦ συνεστώ-
των, αὐτὸς εἶναι τοιοῦτος πέφυκεν ἐκ τριάδος καὶ
δυάδος συναγόμενος. ταύτῃ γοῦν ταῖς τῶν προγόνων XHS
τιμαῖς οἱ Ῥωμαῖοι τὸν πέμπτον ἀνέφερον μῆνα, τῷ
μὲν ἀρτίῳ τοὺς κατοιχομένους τιμῶντες, τῷ δὲ περιτ-
τῷ τοὺς ἔτι σωζομένους· μετὰ γὰρ θεοὺς οὐχ ἧττονα X
τιμὴν τοῖς ἑαυτῶν προγόνοις εἰσέφερον οἱ πάλαι·
μαίορες δὲ τοὺς προγόνους πατρίως καλοῦντες Μάϊον S
τὸν μῆνα ἐκ τῆς ἐκείνων τιμῆς ὠνόμασαν. οἱ δὲ ἀπὸ X
τῆς Μαίας τῆς Ἄτλαντος τῆς Ἑρμοῦ ⟨μητρὸς⟩ ἀξιοῦντες

v. 5 Hesiodus Op. et Dies v. 802

v. 15 ὅτι ταῖς τῶν προγόνων — 21 τιμῆς ὠνόμασαν *S*, μάϊος ἀπὸ τοῦ μαιάδος ἑρμοῦ, ὧ καὶ ἀνάκειται ὡς εἰς τιμὴν τῆς γερουσίας τεθέντος *Y*, κατὰ τὸν μάϊον τοὺς αὐτῶν προγόνους ῥωμαῖοι τιμῶντες, μαίους δὲ τοὺς προγόνους πατρίως καλοῦσι, μάϊον τὸν μῆνα ἐκ τῆς ἐκείνων τιμῆς ὠνόμασαν. οἱ δὲ ἀπὸ τῆς μαΐας μάϊον τοῦτον ὀνομασθῆναί φασιν *H* f. 165ᵛ 18 μετὰ — 19 πάλαι omis. *S* 19 ἑαυτὸν *B* | οἱ πάλαι· μάϊον δὲ μῆνα ἐκ τῆς ἐκείνων τιμῆς ὠνόμασαν, πατρίως καλοῦντες τὴν τιμήν· οἱ δὲ (22) *X* 20 ΠΙΑΟΙΝΠΕϹ *S*, μαίορες scripsi 22 ⟨μητρὸς⟩ add. G. Wissowa

X *ὀνομασθῆναι τὸν Μάϊον πρὸς ἕτερον βλέποντες οὕτω φασίν, ἀλλὰ μὴν καὶ διὰ τὸ ἱερὸν αὐτῆς, ὅτι κατὰ τοῦτον τὸν μῆνα ἱερωθῆναι λέγεται. περὶ δὲ ⟨αὐτῆς⟩ ὁ Πρόκλος φησὶν οὕτως· ʽἡ Μαῖά ἐστιν ἡ τὰ ἐν ἀφανεῖ κεκρυμμένα εἰς τὸ ἐμφανὲς προάγουσα παραπλησίως ταῖς τῇδε μαίαις, Ἑρμῆς δὲ ἐκείνης παῖς ὁ λόγος ἥκων διὰ πάντων, ὃς τὴν ἐν τῷ ἀφανεῖ τῶν ὄντων περιοχὴν ἐν διαστάσει καὶ προνοίᾳ λόγων ἀϊδίως πρώτως ἐξέφηνεν, εἱρμὸν καὶ συνέχειαν καὶ ἀλληλουχίαν ποιήσας ὡς ἐκφαντικὸς τῶν παρ' ἡμῖν τῆς ψυχῆς ἀδήλων παθημάτων.' ὁ δὲ Ἀκυλῖνος ἐν τῷ ὑπομνήματι τῶν ἀριθμῶν οὕτω φησίν· ʽἡ Μαῖα ἀντὶ τῆς εἰς τοὐμφανὲς προόδου ἐστὶ, κυρίου μὲν τοῦ λόγου τοῦ διὰ πάντων πεφυκότος διαταχτικοῦ τῶν ὄντων, διὸ δὴ καὶ Ἑρμοῦ μητέρα φασί. τοιαύτη δὲ ἡ νοητὴ ὕλη, τὸ κατακοσμεῖν τὴν εἰς τὸ ἐμφανὲς πρόοδον καὶ γένεσιν ἀπεργάζεσθαι τῶν ὄντων· ἐκ γὰρ ὕλης καὶ εἴδους τὰ ὄντα.' οὕτως μὲν κατὰ θεολογίαν, κατὰ δὲ τὸν τῆς φυσιολογίας τρόπον τὴν Μαῖαν οἱ πολλοὶ τὸ ὕδωρ εἶναι βούλονται· καὶ γὰρ παρὰ τοῖς Σύροις βαρβαρίζουσιν οὕτως ἔτι καὶ νῦν τὸ ὕδωρ προσαγορεύεται, ὡς καὶ μηΐουρι τὰ ὑδροφόρα καλεῖσθαι. καὶ οὐκ ἔξω λόγου ὁ Βάρρων φαίνεται ὡς καὶ μῆνα ἀναθέμενος αὐτῇ·*

v. 4 cf. Procli comment. in Plat. Alc. I p. 187 Creuzer 24 cf. Censor. de die nat. c. 22. Ovidii Fast. ed. Merkel p. CLXXXII

v. 3 ⟨*αὐτῆς*⟩ add. *Rr* 4 *ἡ Μαῖα*] *ἡ* omis. *B* 6 *ἧκον* *A* 7 *ἐν τῷ ἀφανεῖ A*, *ἀφανῆ B* 11 *ἀκυλλῖνος B* 12 *αὐτῆς* X, *τῆς* ci. Gu. Kroll, *ἀντία ὕλης* A. Dieterich 13 *πρόδον A*, *προδοῦσα A, B*, *προόδου* ci. Gu. Kroll 14 *διατατικοῦ* ci. *Rr* 16 *πρόδον A* 21 *προσαγορεύεται* omis. *B* | *ὡς καὶ*] *καὶ* omis. *B*

κινήσει γὰρ τοῦ ὑποβρυχίου ὕδατος γίνεσθαι σάλον X
τοῖς φιλοσόφοις δοκεῖ· πρώτη δὲ ἑορτὴ τοῦ Μαΐου
παρὰ Ῥωμαίοις αἱ περὶ σεισμῶν ἱκεσίαι. ταύτῃ γὰρ
Ἄτλαντος παῖδα τὴν Μαῖαν οἱ μυθικοὶ ποιοῦσι, καὶ
ἔφορον δὲ τῶν ὑδάτων τὸν Ἑρμῆν εἶναι παραλαμβά-
νομεν, καὶ διὰ ταύτην τὴν αἰτίαν ἐν τοῖς αὐτοῦ πηγαὶ
ἀνατίθενται ἢ φρέατα ὀρύττεται. εἰσὶ δὲ οἵ φασιν
Διὸς καὶ Μαίας τὸν Ἑρμῆν εἶναι ἀλληγορικῶς υἱόν,
νοῦν μὲν εἶναι τὸν Δία, Μαῖαν δὲ τὴν φρόνησιν,
παῖδα δὲ ἐξ ἀμφοῖν Ἑρμῆν λόγιον αἰνιττόμενοι. πάν-
των δὲ νεώτατον εἰργάσαντο, ὥστε δὴ μὴ γηράσκοντος
τοῦ λόγου· ἔτι μὴν ὠκύτατον πεποίηνται τοῦτον ταρ-
σώσαντες πτεροῖς, νοῦ ὀξύτητα καὶ τάχος λόγου διὰ τῆς
τοιᾶσδε τέχνης αἰνιττόμενοι. ὁ γοῦν ποιητής φησιν·

ἔπεα πτερόεντα,

καὶ R

ὡσεὶ πτερὸν ἠὲ νόημα

εἶτα δὲ τετράγωνον σχήματι Ἕλληνες ἀναπλάττουσι X
τοῦτον, τεκμήριον μέγιστον παρεχόμενοι λόγον εἶναι
τοῦτον, καὶ λόγον ἀληθῆ. ἔστι γὰρ καὶ λόγου σχή-
ματα, ὁ μὲν ψευδὴς λόγος ...., ὁ δὲ ἀπατηλὸς πολυγωνό-

v. 15 Hom. Il. A 201 et passim 17 Od. η 36

v. 5 παραλαμβάνομεν A, πάλαι λαμβάνομεν A, B 7 εἰσὶ δὲ οἵ — 20 λόγον ἀληθῆ Lambecius in Cod. p. 158 nr. 29, cf. R f. 6r: τὸν ἑρμῆν οἱ ἕλληνες καὶ οἱ λοιποὶ τῶν ἀρχαίων κατὰ τὴν αὐτῶν πεπλανημένην θεολογίαν υἱὸν διὸς λέγουσι καὶ μαίας· διὸς μὲν οἷον τοῦ νοῦ, μαίας δὲ τῆς φρονήσεως· ἐκ νοῦ γὰρ καὶ φρονήσεως ὁ λόγος γεννᾶται· διὰ τοῦτο καὶ πτερωτὸν αὐτὸν ποιοῦσιν, ὡς ταχύν· οὐδὲν γὰρ λόγου ταχύτερον· ὅθεν καὶ ὅμηρος ἔφη· ἔπεα πτερόεντα, καὶ· ὡσεὶ πτερὸν ἠὲ νόημα. πάντων δὲ νεώτατον αὐτὸν ἐργάζονται διὰ τὸ μὴ γηρασκεῖν τὸν λόγον· ἀλλὰ καὶ τετράγωνον αὐτὸν ποιοῦσι διὰ τὴν στερρότητα τοῦ ἀληθοῦς λόγου. 10 αἰνιττόμενος Lamb. 11 νεώτατα Lamb. 13 λόγων B 16 καὶ — 17 νόημα omis. X 18 δὲ X, δὲ καὶ Lamb. | τετραγώνην B 21 lacunam, quam voce ⟨τρίγωνος⟩ supplendam esse suspicatur, statuit G. Wissowa

X τερος, ὁ δὲ ἀληθὴς αὐτὸς ἑαυτῷ ἐκ πάντων μερῶν ἴσος, ὅπου δὲ στρέφοιτο πάσαις βάσεσιν ἀορίστως στηρίζεται, ὃ δὴ τετραγωνικὸν σχῆμα τυγχάνει. εἰ τοίνυν νοῦς καὶ λόγος εἶναι δέδεικται, τούτῳ τὸν κέρκωπα εἰδωλοποιοῦσιν Αἰγύπτιοι, ἐπεὶ παρὰ πάντα τὰ ζῶα νοήμων τυγχάνει, συνέσεως δὲ καὶ ἐπιστήμης ἐστὶ δεκτικός. ἀλλὰ μὴν καὶ τὴν Αἰγυπτίαν ἶβιν, τὸ ὄρνεον, ἴσμεν ἀνακειμένην αὐτῷ· καρδίᾳ γὰρ ἔοικε λευκαινόμενον μὲν τὸ σῶμα, ἐξ ἀμφοῖν δὲ τῶν μερῶν μελαινομένη, ὅπερ ἐστὶ τοῦ κατὰ διάνοιαν λόγου σχῆμα· πρὶν μὲν γὰρ λεχθῆναι σκότιος, λεγόμενος δὲ φωτίζεται, καὶ ῥηθεὶς εἰς ἀφανὲς οἴχεται. τρέφεται δὲ τὸ ζῶον παρὰ τοῖς ὕδασι, καθάπερ ἐν ἡμῖν ἡ καρδία ἐξ ὑγρᾶς οὐ- XS σίας τὴν δύναμιν λαμβάνει· μόνη δὲ πτηνῶν πάντων νεῖν ἡ ἶβις οὐκ ἐπίσταται, ἀδρανεστάτη δὲ εἰς μεῖζον X βάθος καθελκομένη. τὸ δ' αὐτὸ καὶ ἐπὶ τῆς καρδίας παρατηρητέον· τῆς γὰρ ὑγρᾶς πόσεως συμμέτρως προσαχθείσης ῥώννυσθαί τε καὶ τοῖς λογισμοῖς διεστηρίχθαι πέφυκε, καὶ τῆς μὲν οἰκείας ἕδρας, ἥνπερ φρένα καλοῦσιν, οὐκ ἐξίστασθαι νηφαλέαν τε εἶναι, ὑποβλυσθεῖσαν δὲ τοῖς παλμοῖς τὸν ἴδιον σάλον δι' ὅλου τοῦ σώματος ἐξεργάζεσθαι. πάσχουσι δὲ ταῦτα ὑπὸ μέθης ἄνθρωποι τὸν ἄκρατον τῆς ἰδίας ἰσχύος προτετιμηκότες. καὶ τὴν ἶβιν δὲ καὶ τὸν κέρκωπα σελήνῃ συμπαθῆ εἶναι προσείκασται· ἡ μὲν ἶβις αὐτῷ τῷ σχήματι ἐμφερής, τὰ ἄκρα μὲν ὁμιχλαίνουσα, λευκαίνουσα δὲ τὰ

v. 2 ἀορίστου *B* 6 καὶ omis. *A* 14 ὅτι μόνη πτηνῶν πάντων νεῖν ἡ ἴβις οὐκ ἐπίσταται, καίτοι παρὰ τοῖς ὕδασι τρεφομένη, ἀδρανεστάτη δὲ εἰς μεῖζον βάθος καθελκομένη cet. des. *S* 20 νηφαλαίαν *A*, νηχαλαίαν *B* | ὑποβληθεῖσαν *B* 21 καὶ τοῖς παλμοῖς *X*, δὲ pro καὶ emend. Hasius 23 τὸν] τὸ *B*

μέσα καθάπερ ἡ αἰθερία μήνη. ὅτε γὰρ οὐρανὸς ἀσέ- X
ληνος, οὐδὲ ἴβιδες ὁρῶσι, μύουσι δὲ τοῖς ὀφθαλμοῖς τοῦτον τὸν χρόνον καὶ ἄσιτοι ἐγκαρτεροῦσι τὸ συγγενὲς στοιχεῖον ἀναμένουσαι. ὁ δὲ κέρκωψ δηλοτέρας ἔχει τὰς ἐνεργείας· ὅτε γὰρ αὔξει σελήνη, ὁ τῶν ὀφθαλμῶν κύκλος τότε εὐρύνεται, ὅτε δὲ μειοῦται, τὸ τῶν ὀμμάτων περιφερὲς συστέλλεται.

RrIII36 77. Ὅτι ὁ Ἀριστοτέλης τὸν Καλλισθένην ἀπέσκω- Y S
ψεν εἰπὼν τὸν μὲν περιττὸν νοῦν ἔχειν, τὸν δὲ ἀνθρώπινον ἀποβεβληκέναι.

deestRr 78. Ὅτι ὁ Ἀλφειὸς ποταμὸς ὁρᾶται καταδυόμενος S
μὲν ἐν Πελοποννήσῳ, ἀναδυόμενος δὲ ἐν Σικελίᾳ· λέγουσι δὲ καὶ τὸν Τίγρητα ταὐτὸ τοῦτο πάσχειν καὶ τὸν Λύκον καὶ ἑτέρους τινάς.

deestRr 79. Ὅτι ὥσπερ τοῦ σώματος τοῦ ἡμετέρου τὸ μὲν διαρρεῖ, τὸ δὲ διαπνεῖ, διαρρεῖται μὲν ὑπὸ τοῦ αἵματος κατὰ τὰς φλέβας, διαπνεῖται δὲ ὑπὸ τοῦ πνεύματος κατὰ τὰς ἀρτηρίας, οὕτω καὶ τῆς γῆς τὸ μὲν ὑπὸ τῶν ὑδάτων, τὸ δὲ ὑπὸ τῶν πνευμάτων διαρρεῖσθαι καὶ διαπνεῖσθαι, ἐμφράξεως δὲ ἢ παρεμπτώσεως ἢ συνθλίψεως συμβάσης τρέμειν τὴν γῆν ὥσπερ τὸν ἄνθρωπον· Ἀριστοτέλης δὲ τὸ τεθυμιωμένον τῆς γῆς καὶ ἀτμίζον αἰτιᾶται .... ἂν μὲν εὐπετῶς σχῇ· εἰ δ' οὔ, βιάζεται τὴν γῆν. ὅτι ὁ Τάγης ἐν τοῖς σεισμοσκοπικοῖς λέγει, ὡς ἐν ταῖς πολέμων κινήσεσιν εἰ συμβῇ σεισμὸν γενέσθαι, τοὺς παρ' οἷς γίνοιτο πάντως ἐλατ-

v. 23 cf. Aristoteles Meteor. III, 7 p. 378 Bekker 24 Tages cf. Wachsmuth de ost. p. 110, 7

v. 4 δειλοτέρας *A* 8 ὁ omis. *Y* 9 εἰπὼν omis. *Y* 16 an utroque loco διαρρεῖται et διαπνεῖται scribendum? 23 lacunam indicavi

S τοῦσθαι· καὶ ἄλλων δὲ θαυμαστῶν ἐπιμέμνηται, περὶ
ὧν ἐγὼ ἐν ἑτέρᾳ λέξω συγγραφῇ.
XHS 80. Ἐν τῇ πρώτῃ τούτου ⟨τοῦ μηνὸς⟩ ὁ ἀρχιερεὺς Rr IV 53
ἐκήρυττε, μηδένα ποδῶν ἢ κεφαλῆς οἱουδήποτε ζώου
γεύσασθαι παρὰ πάντα τὸν μῆνα πρὸς φυλακὴν ἀρ-
H θρίτιδος νόσου. κατὰ τοῦτον τὸν μῆνα καὶ ἡ ἑορτὴ
X τῶν Ῥοσαλίων παρὰ Ῥωμαίοις ἐτελεῖτο. ηὔχοντο δὲ
Μαίᾳ τε καὶ Ἑρμῇ οἱ πραγματευταὶ ἀκίνδυνα τὰ τῶν
κερδῶν εἶναι. πάντα δὲ ἄρα τὰ κέρδη ἐν τῇ ὕλῃ καὶ ἐξ
αὐτῆς ἀναφύεται, καὶ ἐν αὐτῇ ὡσανεὶ Ἕρμαια εὑρίσκεται
XY καὶ ἐπιδίδοται, ὥς φασι, κατ' ἀξίαν. Νουμήνιος III 37. IV 53
δὲ ὁ Ῥωμαῖος τὸν Ἑρμῆν τὸν προχωρητικὸν λόγον εἶναι
βούλεται· οὐδὲ γάρ, φησι, πρότερον βρέφος φθέγξαιτο,
X πρὶν ἂν τῆς γῆς ἐφάψαιτο, ὥστε Μαῖαν εἰς γῆν καλῶς IV 53
XS ἐξελάμβανον οἱ πολλοί. καὶ καθ' ἕτερον δὲ ἱερὸν λόγον ὁ
Φοντήϊος χρῆναι τιμᾶσθαι τὴν γῆν ἐν ταῖς Καλένδαις
XHS Μαΐαις λέγει, ὅτι τὴν ἔμφυτον θέρμην ἐπὶ τὴν ἐπι-
φάνειαν ἡ γῆ ἀναβράζουσα γαυριᾶν ὥσπερ καὶ σκιρ-
τᾶν ἐξαγομένη σάλους ἐμποιεῖ ὡς ἐπίπαν κατὰ τὸν
X Μάϊον μῆνα. τιμῶσιν οὖν κατὰ τοῦτον τὴν Μαῖαν,

v. 2 ὁ παρὼν συγγραφεύς, ἐστὶ δὲ λαυρέντιος, ἐν ἑτέρα λέγει *S*, ἐγὼ ἐν ἑτέρᾳ λέξω scripsi 3 ἐν τῇ πρώτῃ τούτου — 6 νόσου *H* f. 166r, ὅτι ὁ ἀρχιερεὺς — 6 νόσου *S*, ὁ δὲ ἀρχιερεὺς — 6 νόσου *X* | ⟨τοῦ μηνὸς⟩ addidi 4 ποδὸς *H* 5 μῆνα τοῦτον πρὸς *S* 6 κατὰ — 7 ἐτελεῖτο addit *H*2 marg., omis. *XS* 7 ηὔχοντο — 9 κερδῶν εἶναι Lambecius in Codinum p. 158 nr. 29 8 Ἑρμῇ καὶ πραγματευταὶ Lamb. | τὰ omis. *B* 11 ὅτι νουμίνιος ὁ ῥωμαῖός φησιν, ὡς οὐ πρότερον — 14 ἐφάψηται *Y* | μούμμιος *X*, νουμίνιος *Y*, Νουμήνιος *Rr* 13 πρότερον omis. *B* | φθέγξοιτο *F* 15 ὅτι κατά τινα ἱερὸν — 20 μάϊον μῆνα *S* | δὲ ἱερὸν omis. *B* 16 φρωντήϊος *X*, φωντήϊος *S*, Φοντήϊος Wachsmuth de ost. p. XXVI 17 φασὶ δέ, ὅτι τὴν ἔμφυτον — 20 μάϊον μῆνα *H* | θέρμην τὴν ἔμφυτον *X* 18 ἀναβλύζουσα *X* 19 ἐξαγομένην *XH* | καὶ σάλους *H* | ἐμποιεῖν *XH*, in margine *Macrobius* *B* | ὡς ἐπίπαν omis. *S*

τουτέστι τὴν γῆν θεραπεύοντες. μαιουμίζειν τὸ ἑορ- X
τάζειν ὀνομάζουσιν, ἐξ οὗ καὶ Μαιουμᾶν· πανήγυρις Suid.
⟨γὰρ⟩ ἤγετο ἐν τῇ Ῥώμῃ κατὰ τὸν Μάϊον μῆνα. τὴν
παράλιον καταλαμβάνοντες πόλιν τὴν λεγομένην Ὀστίαν
οἱ τὰ πρῶτα τῆς Ῥώμης τελοῦντες ἡδυπαθεῖν ἠνεί-
χοντο ἐν τοῖς θαλαττίοις ὕδασιν ἀλλήλους ἐμβάλλον-
τες· ὅθεν καὶ Μαιουμᾶς ὁ τῆς τοιαύτης ἑορτῆς καιρὸς
ὠνομάζετο. ἀρχὴ γενέσεως σελήνη. X

deest Br 81. Ὅτι ὁ Ἐμπεδοκλῆς οὐσίαν ἀνάγκης αἰτίαν χρη- S
στικὴν τῶν ἀρχῶν καὶ τῶν στοιχείων ἐνέκρινεν· ὁ δὲ
Δημόκριτος τὴν ἀντιτυπίαν καὶ πληγὴν καὶ φορὰν τῆς
ὕλης. Πλάτων γε μὴν τὰ μὲν εἰς πρόνοιαν, τὰ δὲ εἰς
ἀνάγκην ἀνήγαγεν, ὅτε μὲν τὴν ὕλην, ὅτε δὲ τὴν τοῦ
ποιοῦντος σχέσιν αἰτιώμενος. τὴν δ' εἱμαρμένην Ἡρά-
κλειτος τὴν αὐτὴν καὶ ἀνάγκην εἶναι βούλεται, ὁ δὲ
Πλάτων προστίθησι καὶ τὴν παρ' ἡμᾶς αἰτίαν. οἱ μὲν
οὖν Στωϊκοὶ τὴν μὲν ἀνάγκην ἀκίνητον, τὴν δὲ εἱμαρ-
μένην φασὶ συμπλοκὴν εἶναι αἰτιῶν τεταγμένων· ἐν ᾗ
συμπλοκῇ καὶ τὰ παρ' ἡμᾶς, ὥστε τὰ μὲν εἱμάρθαι,
τὰ δὲ συνειμάρθαι. οὐσίαν δὲ εἱμαρμένην ὁ Ἡράκλει-
τος τὸν διὰ παντὸς ἥκοντα λόγον ἐνέκρινεν. ὁ δὲ
Χρύσιππος τάξιν τοῦ παντὸς ἢ λόγον τῶν ἐν τῷ κό-
σμῳ διοικουμένων. ὁ δὲ Ποσειδώνιος τρίτην ἀπόδοσιν
ποιεῖται· πρώτην μὲν γὰρ εἶναι τὸν Δία, δευτέραν ⟨δὲ⟩

v. 9 Empedocles Diels Doxogr. gr. p. 321a 13 11 Democritus ibid. 16 12 Plato ibid. 10 et 18 14 Heraclitus ibid. p. 322a 2 16 Plato ibid. 5 17 Stoici ibid. 9 20 Heraclitus ibid. p. 323a 2 22 Chrysippus ibid. 9 23 Posidonius ibid. p. 324a 4

v. 2 πανήγυρις ἤγετο — 8 ὠνομάζετο Suid. s. v. Μαϊουμᾶς, ⟨γὰρ⟩ addidi 11 καὶ φορὰν καὶ πληγὴν Doxogr. 17 τεταγμένην Doxogr. 20 ἀνειμάρθαι Doxogr. 24 πρῶτον, mox δεύτερον et τρίτον Doxogr. | ⟨δὲ⟩ Doxogr.

S τὴν φύσιν, τρίτην ⟨δὲ⟩ τὴν εἱμαρμένην. ὁ δὲ Πλάτων λόγον ἀΐδιον τῆς τοῦ παντὸς φύσεως.

82. Ὅτι τῇ πρὸ ὀκτὼ εἰδῶν Μαΐων ἑορτὴ τοῖς Ῥωμαίοις ἐτελεῖτο ἡ λεγομένη Λεμούρια, οἷον τιμαὶ εἰδώλων ἢ φασμάτων ἢ δαιμόνων ἐμπαθῶν, οὕς φασιν οἱ φιλοσοφοῦντες ἐφόρους εἶναι συμφυεῖς τῶν σωμάτων, καὶ διὰ τοῦτο τοῖς τάφοις χαίρειν. deest Rr

83. Ὅτι ὁ Ἀριστοτέλης καὶ ὁ Ἡρακλείδης φασίν, ἡλίου τὰ πλεῖστα τῶν πνευμάτων κινοῦντος καὶ περιφέροντος καὶ τούτων ἐκβαλλόντων μὲν προωθουμένων δὲ ἀνοιδεῖν τὴν Ἀτλαντικὴν θάλασσαν καὶ παρασκευάζειν τὴν πλημμύραν, εἰτ' αὖθις ληγόντων ἀντιπεριεσπωμένην ὑποβαίνειν καὶ οὕτω τὰς ἀμπώτεις γίνεσθαι. Πυθέας δὲ ὁ Μασσαλιώτης τῇ πληρώσει τῆς σελήνης τὰς πλημμύρας γίνεσθαι βούλεται, τῇ δὲ μειώσει τὰς ἀμπώτεις· τὸ αὐτὸ δὲ καὶ οἱ παρὰ Ῥωμαίοις φιλοσοφοῦντες, Πλάτων δὲ τὴν αἰώραν τῶν ὑδάτων αἰτιᾶ ται· εἶναι γὰρ φυσικήν τινα αἰώραν διά τινος στομίου τρήματος περιφέρουσ⟨αν παλίρροιαν⟩, ὑφ' ἧς ἀντικυμαίνεσθαι τὰ πελάγη. deest Rr

Y S 84. Ὅτι ὁ Πλάτων κατὰ πρόσθεσιν ἢ ἀφαίρεσιν ἢ μετάθεσιν ἢ πνευμάτωσιν συμβαίνειν λέγει τοὺς τερα- Rr III 38

v. 8 Aristoteles et Heraclides Diels Doxogr. gr. p. 382ᵃ 16. Rose Aristot. pseudep. p. 604 14 Pytheas Doxogr. gr. p. 383ᵃ 1 17 Plato ibid. 5 21 Plato: immo Strato, Doxogr. gr. p. 421ᵃ 1

v. 1 ⟨δὲ⟩ Doxogr. 4 λαεμούρια *S*, quod correxi 9 ὑπὸ τοῦ ἡλίου Doxogr. | συμπεριφέροντος Doxogr. 10 ὑφ' ὧν ἐμβαλλόντων μὲν προωθουμένην ἀνοιδεῖν Doxogr. 11 κατασκευάζειν Doxogr. 19 post περιφεροῦς lacuna tredecim litterarum *S*, quam e Doxographis explevi 20 πέλαγα *S*, πελάγη Doxogr. 21 ὅτι τὰ πέρατα (τέρατα *G*) πλάτων φησὶ κατὰ etc. *Y* | πρόθεσιν *S* | ἢ ἀφαίρεσιν ἢ μετάθεσιν omis. *S* 22 συμβαίνειν. cet. des. *Y*

τώδεις τοκετούς, ὁ δὲ Ἐμπεδοκλῆς αὐτὴν τοῦ πνεύ- S
ματος τὴν ἔλλειψιν ἢ ὑπερβολὴν αἰτιᾶται.

deest Rr 85. *Ὅτι ὁ Ἀμέλιος· Μοῦσαί εἰσι, φησίν, αἱ τῶν σφαιρῶν ψυχαί, αἳ τὰς τῶν ὅλων δυνάμεών τε καὶ οὐσιῶν ἐνεργείας ὅσας εἰς τὸ πᾶν ἀφιᾶσιν ὁμοῦ καὶ εἰς μίαν συνάγουσι συμφωνίαν τὴν ὑπὸ τοῦ δημιουργοῦ τεταγμένην.*

Rr IV 54 86. *Ἥφαιστοι τέσσαρες· πρῶτος Οὐρανοῦ καὶ Ἡμέ-* X
ρας, πατὴρ Ἀπόλλωνος τοῦ Ἀθηναίων ἀρχηγέτου· δεύτερος Νείλου παῖς, ὃν Αἰγύπτιοι καλοῦσι Φθάν· τρίτος ὁ Κρόνου καὶ Ἥρας ὁ Λήμνιος, ὁ χαλκευτής· τέταρτος Ἥφαιστος ὁ Μαντοῦς ὁ Σικελιώτης, ἐξ οὗ Ἡφαιστιάδες αἱ νῆσοι. ὅτι ὁ Ἥφαιστος, ὥς φησι Νου- X S
μήνιος, γόνιμον πῦρ ἐστιν, ἡ τοῦ ἡλίου ζωογονικὴ θερμότης· διὸ δὴ καὶ χωλὸν ποιοῦσι τὸν Ἥφαιστον, καθ' ὃ χωλεύει καθ' ἑαυτὴν ἡ τοῦ πυρὸς φύσις, ὅταν μὴ συγκεκρότηται τοῖς ἄλλοις. ὁ δὲ παρὰ Ῥωμαίοις Κίγκιος λέγει, χωλὸν τὼ πόδε τὸν Ἥφαιστον λαμβάνεσθαι διὰ τὸ ἄνισον τῆς ἡλίου πορείας. ὁ δὲ Χαι- S
ρωνεύς φησιν, ὅτι τοῦ πυρὸς τὴν δύναμιν προσειπόντες Ἥφαιστον ἀνθρωποειδὲς μὲν αὐτοῦ τὸ ἄγαλμα πεποιήκασι, πῖλον δὲ περιέθεσαν κυάνεον τῆς οὐρανίου σύμβολον περιφορᾶς· ἔνθα τοῦ πυρὸς τὸ ἀρχοειδές τε

v. 1 Empedocles ibid. p. 420[a] 20 19 cf. Plut. de aud. poet. c. 6 p. 23 C

v. 8 *Cic. de nat. deor. B* marg. 11 *λέμνιος B* 12 *μαντοῦς X, μαντῷος* ci. Creuzer 13 *ἡφαιστιώδες A, ἡφαιστιάδες B, Ἡφαιστιώδεις* Creuzer | *ὅτι ὁ ἥφαιστος* — p. 136, 6 *ὀσίρεως S* | *ὅτι ὁ* omis. *X* | *ὥς φησι Νουμήνιος* omis. *X* 14 *πῦρ γόνιμον S, γόνιμον πῦρ X* 15 *τὸν* omis. *S* 17 *συγκρατῆται S* | *ὁ δὲ* — 19 *λαμβάνεσθαι διὰ S, ἄλλος δὲ χωλῷ ποδὶ τὸν ἥφαιστον λαμβάνεσθαι λέγει διὰ X* 19 *πορείας.* cet. des. *X*

S καὶ ἀκραιφνέστατον. κατὰ δὲ ἱστορίαν Μανέθων Αἰ-
γυπτιακῶν ὑπομνημάτων ἐν τόμῳ τρίτῳ φησίν, ὅτι
πρῶτος ἀνθρώπων παρ' Αἰγυπτίοις ἐβασίλευσεν Ἥφαι-
στος ὁ καὶ εὑρέτης τοῦ πυρὸς αὐτοῖς γενόμενος· ἐξ
οὗ Ἥλιος, οὗ Κρόνος, μεθ' ὃν Ὄσιρις, ἔπειτα Τυφών,
ἀδελφὸς Ὀσίρεως.

XS 87. Ἰστέον δέ, ὡς ὁ Μανέθων ἐν τῷ περὶ ἑορτῶν Rr IV 55
λέγει, τὴν ἡλιακὴν ἔκλειψιν πονηρὰν ἐπίρροιαν ἀν-
θρώποις ἐπιφέρειν περί τε τὴν κεφαλὴν καὶ τὸν στό-
μαχον.

X Ἰούνιος.

88. Οὕτως οὖν τοῦ πέμπτου μηνὸς εἰς τιμὴν 56
τῆς γερουσίας πρὸς τοῦ βασιλέως Νουμᾶ διατεθέντος
ἐλείπετο ἄρα τὸν ἕκτον εἰς τιμὴν τῆς νεολαίας —
XY ἰουνιῶρας γὰρ τοὺς νεωτέρους φασίν — ὁρισθῆναι·
X βουλῇ γὰρ γερόντων καὶ νεωτέρων ἀνδρείᾳ εἰκὸς διοι-
κεῖσθαι, ὥς φησι Πλάτων, τὸ πολίτευμα. οὐκ ἔξω δὲ
λόγου τὸν ἓξ ἀριθμὸν φαίνεται ταύτῃ προσνέμων·
ζωογονικὸς γὰρ οὗτος ἀπὸ μονάδος ἑξῆς ἄχρι τριάδος
ἐξ αὐτοῦ συμπληρούμενος καὶ ἀρκῶν ἑαυτῷ· καὶ διὰ
τοῦτο ὁ Πυθαγόρας τῇ πρώτῃ τῶν Μοιρῶν τοῦτον
ἀνατέθεικεν.

89. Καλένδαις Ἰουνίαις ἑορτὴ Ἥρας καὶ εὐχαὶ ἐν 57

v. 1 Manetho: cf. frg. 1, FHG II p. 526 7 Manetho frg. 82, FHG II p. 615 17 cf. Plato Rep. III p. 412 C

v. 7 ὅτι ὁ μανέθων — 10 στόμαχον S 8 ἐπήρειαν X 9 τε] τῆς X | κενὴν X, κεφαλήν S 13 ἱερουσίας B 14 ἰου-νιῶρας — φασιν omis. X, ἰούνιος δὲ εἰκότως ὁ μετὰ τὸν εἰς τιμὴν τῆς γερουσίας ὑπὲρ τῆς τιμῆς τῶν νέων τεθείς· ἰουνιῶρας γὰρ τοὺς νεωτέρους φασίν Y 19 ἐξ ἧς X, ἑξῆς Nokkius 22 ἀνα-τέθηκεν B

τῷ Καπετωλίῳ, πάντων ὁμοῦ Ῥωμαίων ὕδατος ἐξ ἑω- XH
θινῆς ἀπογευομένων ψυχροῦ πρὸς φυλακὴν νόσου
παντοίας καὶ διαφερόντως ποδαλγικῆς, ὡς ὁ χρησμὸς X
ἐβούλετο, καὶ ὥστε μὴ διδύμους ἢ τερατώδεις γενέσθαι
τοὺς τοκετούς. ἡ δὲ τοιαύτη συνήθεια ἐπὶ Ἀδριανοῦ XS
εἰσενήνεκται, πεμφθείσης γυναικὸς ὡς αὐτὸν Αἰγυ-
πτίας, ἣ ἀφηγεῖτο τέσσαρσιν ἡμέραις κατὰ διάστημα
ἄνισον τέσσαρα τεκεῖν, μετὰ δὲ τεσσαράκοντα ἡμέρας
τὸ πέμπτον, κατὰ τὸν Ἀριστοτέλην, ὅς φησιν ἐν τέσ-
σαρσι τοκετοῖς εἴκοσι κυηθῆναι· τοῦτο δέ φησιν ὁ S
Ἡρακλείδης συμβαίνειν, ὅταν ἐξακοντισμὸς δὶς ἢ τρὶς
ἀπὸ ἐγκρατείας κατ' ἀναστομώσεως συνοχήσῃ ἢ καὶ
τῆς μήτρας ἐπανοιχθείσης μετὰ τὴν προτέραν πῆξιν
κατὰ τοσοῦτον καθ' ὅσον ὁ τοκετὸς ἀριθμοῖτο. ὅτι ὁ XS
Ἰούνιος μὴν ἀνεπιτήδειος πρὸς γάμους, ὡς τὰ βιβλία HS
τῶν παρὰ Ῥωμαίοις ἱερέων λέγει· ἀληθὴς δὲ ὁ λόγος
καὶ ἀνάγκη πᾶσα, κατὰ τόνδε καιροῦ γινόμενον συνοι-
κέσιον τὸν νεώτερον ἀποβαλεῖν, καὶ ταύτης ἐγὼ τῆς S
ἐκβάσεως ἔμπειρός εἰμι, τὴν ἐμοὶ φιλτάτην γυναῖκα
ὡς τάχος ἀποβαλών. ἐπὶ δὲ τρεῖς ἡμέρας οὐκ ἐξῆν
γυναιξὶν ἢ καρῆναι ἢ ὀνυχίσασθαι.

v. 9 cf. Arist. hist. anim. VII, 4 p. 584b 31 Bekker

v. 2 ἀπογενομένων *B* | ὁ ἰούνιος ὅθεν ὠνομάσθη οὐχ εὕρη-
ται. φασὶ δέ, ὅτι τῇ πρώτῃ τοῦ ἰουνίου ῥωμαῖοι ἐξ ἑωθινῆς
ἀπεγεύοντο ψυχροῦ — 3 ποδαλγικῆς *H* f. 166r 4 δυδίμους *A*
5 ὅτι ἐπὶ ἀδριανοῦ ἐφηγεῖτό τις αἰγυπτία γυνὴ πεμφθεῖσα πρὸς
αὐτόν, ὅτι τέσσαρσιν — 21 ὀνυχίσασθαι *S* 6 εἰς αὐτὸν γυναι-
κὸς *B* 9 τὸν omis. *S* | ἀριστοτέλη *A* 10 τοῦτο — 14 ἀριθ-
μοῖτο omis. *X* 14 ὁ δὲ ἰούνιος *X* 15 γάμους. cet. des. *X*,
τοῦτόν φασι καὶ ἀνεπιτήδειον εἶναι πρὸς γάμους· ἀνάγκη γὰρ
πᾶσα τὸ κατὰ τόνδε τὸν καιρὸν γενόμενον — 18 ἀποβαλεῖν. cet.
des. *H* 16 λέγει, ἐφ' ᾧ καὶ φησιν ὁ τῶν τοιούτων συγγραφεὺς
λαυρέντιος τοιαῦτα· ὅτι ἀληθὴς etc. *S*

X 90. Τὸ Σάγκος ὄνομα οὐρανὸν σημαίνει τῇ Σα- RrIV 58
βίνων γλώσσῃ.

S 91. Ὅτι οἱ Ἑβραῖοι οὐκ εἰκῇ ἀπέχονται λαγωοῦ
XS καὶ στρουθοῦ Λίβυος καὶ χαραδριοῦ· ὁ μὲν γὰρ λαγωὸς 58
S ἄρρην τίκτειν πέφυκε τεραστίως, ὁ δὲ Λίβυς στρουθὸς
οὐδὲ στρουθὸς οὐδὲ τετράποδον οὐδὲ πτηνόν ἐστι τέ-
λειον· οὐδεὶς δὲ χαραδριὸν φαγὼν οὐκ ἐπένθησεν.

X 92. Λαρινὸν τὸ λιπαρόν, ἐξ οὗ καὶ λάρδος. ἄλλοι 58
δὲ ἄλλως φασί.

93. Θυγατέρας Ἀνάγκης τὰς Μοίρας φασί, Λάχεσιν 58
τε καὶ Κλωθώ ⟨καὶ Ἄτροπον· καὶ Λάχεσιν μὲν τὰ
παρελθόντα διοικεῖν, Κλωθὼ⟩ δὲ τὰ ἐνεστῶτα, Ἄτρο-
πον δὲ τὰ μέλλοντα.

94. Τῇ πρὸ πέντε Εἰδῶν Ἰουνίων ἑορτὴ τῆς Ἑστίας. 59
ἐν ταύτῃ τῇ ἡμέρᾳ ἑώρταζον οἱ ἀρτοποιοὶ διὰ ⟨τὸ⟩ τοὺς
ἀρχαίους τὸν ἄρτον ἐν τοῖς ἱεροῖς τῆς Ἑστίας κατα-
σκευάζειν· ὄνοι δὲ ἐστεφανωμένοι ἡγοῦντο τῆς πομ-
S πῆς, διὰ τὸ τούτοις ἀλεῖσθαι τὸν σῖτον. ὅτι οἱ μὲν
φυσικοὶ τὴν Ἑστίαν βούλονται τὴν γῆν εἶναι ἀπὸ τοῦ
ἑστάναι, οἱ δὲ θεολόγοι ταύτην εἶναι βούλονται τὴν
λεγομένην ὀντότητα. καὶ μάρτυς ὁ ἐν τῷ Κρατύλῳ
Σωκράτης, λέγων Ἑστίαν εἶναι τὴν πηγαίαν οὐσίαν
καὶ πᾶσι τοῦ εἶναι αἰτίαν, ἱδρυμένην ἐν τῷ πατρί· ὁ
δὲ Πορφύριος μετὰ τὴν νοητὴν Ἑστίαν ἤτοι ὀντότητα
βούλεται καὶ τὴν ἔφορον τῆς γῆς — χθόνα δὲ αὐτὴν

v. 21 cf. Plato Cratyl. p. 401 C

v. 1 σάγγος *B* | οὐρανῶν *B* 4 χαραδροῦ *S*, χαραδριοῦ scripsi | ὁ λαγὼς (λωγῶς *A*, λόγος *B*) ἄρρην τίκτων πέφυκε τεραστίως. cet. des. *X* 7 χαραδρὸν *S*, χαραδριὸν scripsi 11 lacunam explevit *Rr* 15 ⟨τὸ⟩ supplendum censet G. Wissowa 17 ἥγοντο *X*, ἡγοῦντο ci. *Rr* 18 τὸν] τὸ *B* | σῖτον. cet. des. *X* | ὅτι οἱ μὲν — p. 139, 7 τὴν γῆν *S*

καλοῦσι — ὁμωνύμως ἐκείνης Ἑστίαν εἶναι, λέγει δὲ S *οὕτω· ‘καὶ τὸ μὲν ἡγεμονικὸν τῆς θείας δυνάμεως Ἑστία κέκληται, ἧς ἄγαλμα παρθενικὸν ἐφ' ἑστίας ἵδρυται· καθ' ὃ δὲ γόνιμος ἡ δύναμις, σημαίνουσιν αὐτὴν γυναικὸς εἴδει προμάστου.’ οἱ δὲ Ῥωμαίων ἱεροφάνται οὐδὲν ἕτερον βούλονται εἶναι αὐτὴν ἢ μόνην τὴν γῆν.*

RrIV 60 95. *Πρὸ τοῦ μεγάλου κατακλυσμοῦ τὴν Σικελίαν* X *μὴ νῆσον εἶναί φασιν ὡς σήμερον ἀλλ' ἤπειρον γενέσθαι συνημμένην τῇ ὕστερον Ἰταλίᾳ, ἐκ δὲ τῆς φορᾶς τῶν ἐκ τῆς ἐπικλύσεως ῥευμάτων τῶν ῥιζῶν ἀποσπασθεῖσαν νῆσον ἀποκαταστῆναι, καὶ διὰ τοῦτο Ῥήγιον ἀπὸ τῆς ῥήξεως ὀνομασθῆναι τὸ πλευρὸν τῆς Ἰταλίας ἐκεῖνο, ἐξ οὗπερ ἀπέρρωγε. πρότερον δὲ Σικανία ἐλέγετο ἡ Σικελία. ἡ Ἰταλία ἐννέα ἐπαρχίας ἔσχε ταύτας· Καμπανίαν Ἀπουλίαν Θουσκίαν Καλαβρίαν Οὐμβρίαν Δαλματίαν Λουκανίαν Βρεττίαν Σικελίαν.*

60 96. .... *πρὸς Προυσίαν τῆς Βιθυνίας βασιλέα.*

61 97. *Παρὰ τοῖς Πυθαγορείοις ἡ δυὰς ὡς θέσιν τινὰ καὶ ἐπιβάθραν τῷ ἀριθμῷ ἐπιδοῦσα ἐλευσίνη καλεῖται, ὡς προέλευσιν ἐπὶ τὸ πλεῖον καὶ ἄπειρον παρέχουσα.*

deest Rr 98. *Ὅτι ὁ Εὔδημός φησιν, ἐν Πέλταις τῆς Φρυ-* S *γίας λίθον γενέσθαι ποτὲ τετράπεδον, ὃν δὴ νηνεμίας οὔσης τοὺς γεωργοὺς ὑποτιθέντας ξύλα στρογγύλα ἐξαίρειν καὶ ἀνέμους ποιεῖν· ἐφ' ὅσον δ' ἂν ἐξηρέθη ὁ λίθος, ἐπὶ τοσοῦτο δὴ ἰσχυρῶς ἀνατείνειν τοὺς ἀνέ-*

v. 22 Eudemus cf. FHG II p. 20ᵃ

v. 14 *ἀπέρρωσε B* 15 *ἐπαρχίας* omis. *B* 16 *ἀπουλήϊαν A* | *θυμβρίαν X*, *οὐμβρίαν* corr. *A* 17 *βρεττανίαν X*, quod correxi 18 *πλουσίαν B*

S μους· καὶ πάλιν εἰς ἐπίπεδον τὸν λίθον τιθέναι καὶ νηνεμίαν γίνεσθαι.

99. Ὅτι τὰς συνετὰς διανοίας οἱ ποιηταὶ μελαίνας φασὶν οἷον βαθείας· τῷ γὰρ βάθει τὸ μέλαν ἕπεται· τοιγαροῦν ὁ Πίνδαρος λευκάς φησι φρένας τὰς μὴ συνετάς. deest Rr

X 100. Φεῦ τῶν βροτείων ὡς ἀνώμαλοι τύχαι· Rr IV 62
οἱ μὲν γὰρ εὖ πράσσουσι, τοῖς δὲ συμφοραὶ
σκληραὶ πάρεισιν εὐσεβοῦσι πρὸς θεοῦ.

τὴν τύχην Φορτοῦναν λέγουσιν οἱ Ῥωμαῖοι ἀπὸ τῆς φορᾶς .... ἔνθουν ὠφέλειαν. Ἀριστοτέλης· 'εἰ ἔστιν ἀρετή, οὐκ ἔστι τύχη· ἄνω γὰρ καὶ κάτω τὰ τῆς τύχης ἐν τοῖς ἀνθρωπίνοις γυμνάζεται πράγμασι, πλούτῳ τε καὶ διαφερόντως ἀδικίᾳ. οἱ δὲ πρὸς ἀρετὴν ἔχοντες καὶ θεοῦ μεμνημένοι καὶ κρείττονας ἐπὶ τῶν μακαρίων καὶ ἀΰλων πραγμάτων ἐλπίδας σαλεύοντες καταφρονοῦσι τῶν τῇδε καλῶν'. οὐδὲν γὰρ ἀσφαλὲς οὐδὲ κεκριμένον ἐστὶν ἐπὶ τῆς τύχης, ὡς Εὐριπίδης φησί. χείρους οἱ τοῦ πλούτου παρὰ μέτρον ἐφιέμενοι· πλοῦτος γὰρ μᾶλλον κακίας ἢ καλοκαγαθίας ὑπηρέτης ἐστί,
S φησὶν ὁ ῥήτωρ. ὅτι ὁ Πλάτων μηδένα γίνεσθαι μεγίστου πλούτου κύριόν φησιν, εἰ μὴ τὸν προεζημιωμένον τὴν ψυχήν.

v. 3 ποιηταὶ e. g. Solo frg. 42, 4 Bergk 5 Pindar. Pyth. IV 194 7 Euripidis frg. 684, 1—3 Nauck 11 Aristotelis frg. 88 p. 1491^b 16 Bekker, Rose Arist. pseudep. frg. 79, A. Elter progr. Bonn. 1893 in mem. Frid. Guil. III = Gnomol. III p. 119 18 Euripidis frg. 942 Nauck 21 ὁ ῥήτωρ: [Isocrates] πρὸς Δημόνικον § 6 | Plato: A. Elter l. s.

v. 9 θεὸν X, corr. Rr 11 post φορᾶς lacunam indicat A 12 ψυχῆς B 19 πλούτου τοῦ παρὰ X, τοῦ delendum esse patet e p. 78, 10 20 κακίας] καλίας A 21 ὁ ῥήτωρ. cet. des. X | ὅτι — p. 141, 11 προφεύγων S

deest Rr 101. *Ὅτι ὁ χρησμός φησι·* S

Δοιοὶ δαίμονές εἰσι κατ' ἀνέρα· δοιὰ δὲ τούτων
ἔθνεα· οἳ κατὰ γαῖαν ἀεὶ τεθαλυῖαν ἀλῶνται
†παραμίμνειν μερόπεσιν ἐκ Διὸς ἀρχῆς·
Ζεὺς γάρ τοι δωτὴρ πάντων ἀγαθῶν τε κακῶν τε,
ὅς καὶ τικτομένοισι χρόνον ζωῆς ἀφορίζει
καμμίξας φαυλοῖσι καλοῖσί τε σῶμα βρότειον.
κείνους δαίμονας ὅστις ἑῇ σοφίῃ προσέλοιτο,
γνώμην τε σχοίη, ποίοις χαίρουσιν ἐν ἔργοις,
πάντων ἂν προφέροιτο νόῳ καὶ πράξεσιν ἐσθλαῖς,
ἐσθλὰ παρ' ἐσθλοῦ δῶρα φέρων καὶ φαῦλα προφεύγων.

Ἰούλιος. X

Rr IV 63 102. *Τὸν Ἰούλιον μῆνα πέμπτον μὲν ἄν τις ἀπὸ τοῦ πολιτικοῦ, ἕβδομον δὲ ἀπὸ τοῦ ἱερατικοῦ λάβοι ἐνιαυτοῦ· ἀπὸ γὰρ τοῦ Μαρτίου — ἐκεῖνος δὲ ἦν ὁ παρὰ Ῥωμύλου τεθεὶς εἰς ἀρχὴν τοῦ πολιτικοῦ ἐνιαυτοῦ — πέμπτος ἐστίν, ὅθεν καὶ Κυντίλιος τὸ πρὶν*

v. 2 *ἀέρα* suspicatur Gu. Kroll 4 *παρμίμνειν μερόπεσσι ⟨τεταγμένοι⟩* proponit Gu. Kroll 5 *δοτὴρ S*, quod correxi 8 *προέλοιτο* Gu. Kroll 13 *ἰούλιος δὲ ἀπὸ τοῦ ἰουλίου καίσαρος ὡς κατ' αὐτὸν τεχθέντος· πρότερον δὲ κυντίλιος ὠνομάζετο τουτέστι πέμπτος ἀπὸ τῆς πολιτικῆς τοῦ ἔτους ἀρχῆς. ἀπὸ γὰρ τῆς ἱερατικῆς ἀρχῆς ἤτοι τῶν αὐξιφωτίων ἕβδομός ἐστιν Y*, *ὁ ἰούλιος μὴν κυντίλιος πρότερον ὠνομάζετο, ὅς ἐστι πέμπτος ἀπὸ μαρτίου. ὁ δὲ ἰούλιος καῖσαρ οὕτως αὐτὸν πρὸς τὸ οἰκεῖον ὄνομα μετωνόμασε διὰ τὸ ἐν τῷ μηνὶ τούτῳ αὐτὸν γεννηθῆναι H* f. 166r, Georg. Cedr. hist. comp. p. 294, 18 Bonn: *ὅτι ὁ Ἰούλιος μὴν Κυντίλιος ἐλέγετο, μετωνομάσθη δὲ παρὰ Ἀντωνίου διὰ τὸ γεννηθῆναι αὐτῷ Γάϊον Ἰούλιον.* Lyd. de ost. ed. Wachsmuth p. 59, 21: *ὅτι μὲν ὁ μὴν Κοϊντίλιος οὗτος τὸ πρὶν ὠνομάζετο, πρὸς δὲ τιμῆς Ἰουλίου Καίσαρος εἰς ταύτην μετετέθη τὴν προσηγορίαν, εἰς πλάτος ἡμῖν εἴρηται ἐν τῇ περὶ μηνῶν πραγματείᾳ.* 14 *λάβοιεν αὐτὸν B*, *λάβοι ἐνιαυτοῦ A*, *ἐνιαυτὸν* corr. A_2 15 *ἐκεῖνος γὰρ B* 17 *ὅθεν κυντίλιος τὸ πρώην B*

X ὠνομάζετο· ἕβδομος δὲ ἀπὸ τοῦ Ἰανουαρίου· ἱερατικὸς δὲ οὗτος κατὰ τὸν Νουμᾶν. ὁ τοίνυν Καῖσαρ οὐ τύχῃ μόνον, ἀλλὰ καὶ ἱερωσύνῃ κοσμούμενος — καὶ γὰρ πόντιφεξ ἦν, οἱονεὶ γεφυραῖος ἀρχιερεὺς ἢ θεουργός, διὰ τὴν ἐξ Ἀφροδίτης σειράν — εὑρὼν τὸν Κυντίλιον μῆνα τὴν προσηγορίαν μετέβαλεν, οὐ διὰ τὴν τοῦ ἀριθμοῦ μόνον τελειότητα, ἀλλὰ καὶ διὰ τὸ αὐτὸν ἐκεῖνον κατὰ τὴν πρὸ τεσσάρων Εἰδῶν τοῦ μηνὸς XS τούτου τεχθῆναι. Καῖσαρ δὲ ὠνομάσθη, οὐ καθώς φασιν οἱ παλαιοί, ἐκ τῆς ἀνατομῆς τῆς γαστρὸς Αὐρηλίας τῆς μητρός αὐτοῦ, ἧς δῆθεν ἀποβιούσης ἐγκύμονος αὐτὸν ἀνατμηθείσης ἐκείνης ληφθῆναι· τὸ δ' ἀληθὲς κεκριμένον τοῖς ἱστορικοῖς περὶ τῆς τοιαύτης αὐτοῦ προσηγορίας τοιοῦτόν ἐστιν· ἐπὶ τοῦ Φοινικικοῦ πολέμου, ὅτε ὁ Σύφαξ Ἀννίβᾳ συνεμάχει, λέγεται Γάϊον Ῥουτίλιον — πρόγονος δὲ οὗτος παλαιὸς τῷ Καίσαρι γέγονε — ἐν αὐτῇ τῇ παρατάξει μαχόμενον τοσαύτῃ δυνάμει ἐπαφεῖναι τὸ δόρυ κατὰ τοῦ Μαυρουσίου, ὥστε τὸν ἐλέφαντα, ᾧ ἐπωχεῖτο ὁ πολέμιος, καταβαλεῖν, κἀκεῖθεν τὴν Καίσαρος ἐπωνυμίαν λαβεῖν, ἐπεὶ παρὰ Φοίνιξιν ὁ ἐλέφας τὸ ζῷον καῖσαρ λέγεται. Οὐάλης XHS δὲ, ὃς καὶ αὐτὸς τὰ Καίσαρος ἔγραψε, φησὶν ἄριστον

v. 21 Valens: Peter HRF p. 378

v. 4 ὡσανεὶ *B* 6 τοῦ omis. *B* 9 ὅτι τὸν γάϊον ἰούλιον καίσαρα οἱ μὲν πολλοί φασιν αὐτὸν καίσαρα προσαγορευθῆναι ἐκ τῆς ἀνατομῆς — p. 143, 6 τοῦ ἀφροδίτης *S* 11 αὐτοῦ μητρὸς *X* | ἀπομειούσης *A*, ἀπομενούσης *B*, ἀποβιούσης *S* 12 ἀποτμηθείσης *X*, ἀνατμηθείσης *S* | ληφθῆναι· ἀλλ' οὕτως ἔχει τὰ τῶν ἱστοριῶν· ἐπὶ τοῦ (14) κτλ. *X* 15 ὅτε — συνεμάχει omis. *S* 16 Γάϊον omis. *S*, γὰρ οὐτίλιον *A*, γάϊον ῥουτίλιον A_2 *B* | πρόγονος δ' αὐτὸς *S* | δὲ omis. *B* 17 γέγονε omis. *X* 18 μαυρουδίου *B* 21 καίσα *X* 22 ἔγραψέ φησιν ὅτι διὰ τὸ ἐκ τῆς κόμης κάλλος καῖσαρ προσηγορεύθη· τὴν γὰρ κόμην etc. *S*, de *H* vide ad p. 143, 5

μὲν αὐτὸν καὶ πρεπωδέστατον ἐν μεγέθει γενέσθαι, XHS
ἔτι μὴν καὶ κομήτην· τὴν γὰρ κόμην πατρίως οἱ XS
Ῥωμαῖοι καισάριεν προσαγορεύουσι, καί φησιν, ὡς X
διὰ τὸ ἐξ αὐτῆς κάλλος Καῖσαρ προσηγορεύετο. κύ- XS
ριον δὲ αὐτῷ ὄνομα Γάϊος, εὐγενείας δὲ σημαντικὸν XHS
Ἰούλιος, ἀπὸ Ἰούλου τοῦ Αἰνείου τοῦ Ἀφροδίτης,
ἀρετῆς δὲ ὁ Καῖσαρ. X

RrIV64 103. *Θεοδόσιος ὁ μικρὸς νεωτερίζων τὸ τῆς Ὀλυμ-* XS
πιάδος ἐκ τῶν χρόνων ἀπήλειψεν ὄνομα.

deestRr 104. *Ὅτι τὸν Καίσαρά φασιν ἐξ ἀπείρου χειμῶνος* S
ἐπιληψίᾳ περιπεσεῖν· θεραπευθῆναι δὲ ὕστερον ἡρα-
κλείου βοτάνης χυλὸν σὺν πυτίᾳ φώκης ἑλκύσαντα.
καὶ Καῖσαρ μὲν οὔπω θαυμαστὸν εἰ καὶ φώκης πυτίας
ηὐπόρησεν· Ἀρέτας δὲ ὁ τῶν Σκηνιτῶν Ἀράβων φύλ-
αρχος Κλαυδίῳ Καίσαρι γράφων ἐπιστολὴν περὶ τῆς
RrIV65 *δι᾽ ὀρνέων θεραπείας φησίν, ἧπαρ γυπὸς σὺν τῷ* XS
αἵματι ὀπτὸν μετὰ μέλιτος διδόμενον ἐπὶ ἑβδομάδας
τρεῖς ἀπαλλάττειν ἐπιληψίας, ὁμοίως δὲ καὶ τὴν καρ-
δίαν τοῦ γυπός, ὅτε ξηρανθῇ, ἐν ὕδατι διδομένην τῷ
ἴσῳ τρόπῳ ἰσχύειν.

66 105. *Ὅτι οἱ πολλοὶ τῶν ἱστορικῶν φασι τὸν Καί-*
σαρα ἑπτάμηνον τεχθῆναι, καὶ διὰ τοῦτο τὸν ἕβδομον
μῆνα τοῦ ἱερατικοῦ ἐνιαυτοῦ εἰς τὴν οἰκείαν μεταβα-

v. 2 *γὰρ S*, *δὲ X* 3 *καί φησι* — 4 *προσηγορεύετο* omis. *S* 5 *εὐγενείας δὲ σημαντικὸν τὸ ἰούλιος* — 6 *τῆς ἀφροδίτης· καῖσαρ δὲ οὗτος ὠνομάζετο ὡς εὐπρεπής· ἄριστον* (p. 142, 22) *γὰρ αὐτὸν γενέσθαι τὸ σῶμα φασιν καὶ πρεπωδέστατον ἐν μεγέθει γενέσθαι H* f. 166ᵛ 6 *τῆς ἀφροδίτης XH*, *τοῦ ἀφροδίτης S* 7 *ἀρετῆς δὲ ὁ καῖσαρ* omis. *S* 8 *ὅτι ὁ* . . . . . (lacuna quinque litterarum) *θεοδόσιος τὸ* etc. *S* 14 *ἀρήτας S*, *Ἀρέτας* scripsi 16 *ἧπαρ γυπὸς* inc. *X* 18 *ἀπαλλάττει X* | *καὶ* omis. *S* 19 *διδομένη X* 21 *ὅτι πολλοὶ* — p. 144, 1 *προσηγορίαν S*, *φασὶ δὲ αὐτὸν τὸν ἰούλιον ἑπτάμηνον* — p. 144, 2 *οὗτος X* 23 *ἱερατικοῦ* omis. *B*

X λεῖν προσηγορίαν. οὐδεὶς δὲ ἄλλος ἠνδραγάθισεν ὡς οὗτος.

XHS 106. Χρησμὸς ἐδόθη Ῥωμαίοις πρὸς τῆς Μητρός, Bk IV 67
μηδ' ὅλως ἀφροδισίοις χρῆσθαι ἀνὰ πάντα τὸν Ἰού-
λιον μῆνα, εἴπερ αὐτοῖς ὑγιαίνειν τὰ σώματα μέλλοι.

X 107. Κατὰ τὸν ἐν λέοντι ἥλιον ἀναχεῖται ὁ Νεῖ- 68
λος. Ἰλὰς ὄνομα τῷ Νείλῳ πρότερον, εἶτα Αἴγυπτος
ἐξ Αἰγύπτου, εἶτα Χρυσορρόας καὶ τὸ λοιπὸν Νεῖλος
ἀπὸ βασιλέως οὕτω καλουμένου· τὸ γὰρ δόξαν τοῖς
γραμματικοῖς ἀπὸ τῆς νέας ἰλύος ὠνομάσθαι τὸν Νεῖ-
λον πρὸς ἐτυμολογίαν ὁρᾷ. περὶ τῆς ἐν θέρει τῶν
ὑδάτων ἐπιδόσεως Ἀναξαγόρας φησί, τὰς τῆς Αἰθιο-
πίας τηκομένας χιόνας ἀποστέλλειν τὸν Νεῖλον. καὶ
ταύτης ἐστὶ τῆς δόξης ὅ τ' Αἴσχυλος καὶ Σοφοκλῆς
καὶ Εὐριπίδης. ὁ δὲ μέγιστος ἐν φιλοσόφοις Ῥωμαίοις
Σενέκας ἀντιλέγει φάσκων ⟨ἐμπυροτάτην εἶναι⟩ τὴν
Αἰθιοπίαν, ἔνθεν καὶ διακαίεσθαι τὰ σώματα τῶν
Τρωγλοδυτῶν, οἵτινες οὐ φέροντες τὸν ἥλιον ὑπὸ τὴν

v. 6 sqq. de scriptoribus in hac paragrapho laudatis egit Diels, Doxogr. gr. p. 226. 228   14 Aeschylus frg. 300 Nauck, Sophocles frg. 797 Nauck   15 Euripidis Helenae v. 1 sqq. et frg. 228 Nauck indicantur, cf. Anon. *περὶ τῆς τοῦ Νείλου ἀναβάσεως* apud Idelerum Phys. et medic. graeci min. I p. 190 sqq.   16 Seneca nat. quaest. IV, 2

v. 3 *ὅτι χρησμὸς — 5 μέλοι S, φασὶ δὲ ὅτι χρησμὸς ῥωμαίοις ἐδόθη — 5 μέλει H* f. 166v | *πρὸς τῆς Μητρὸς* omis. *HS*   4 *ἅπαντα τὸν ἰούλιον μῆνα S, κατὰ τοῦτον τὸν μῆνα H, ἀνὰ πάντα τὸν ἰούλιον X*   5 *ὅπως X, εἴγε H, εἴπερ S* | *μέλλοι A, μέλει H, μέλοι BS*   6 hanc paragraphum praeter *AB* exhibet Cryptoferratensis quoque codex *Z δ* VI f. 156 sq. (*T*) hoc titulo ornatam: *ἐκ τῶν Κλαυδίου Τούσκου ἐφημερίδων περὶ τῆς τοῦ Νείλου ἀναβάσεως ἐν μηνὶ Ἰουλίῳ* | *τὸν λέοντα*, corr. *ἐν λέοντα T*   11 *εἰτυμολογιάν T* | *θέρη T*   15 *ἐν ῥωμαίων φιλοσόφοις T*   16 ⟨*ἐμπυροτάτην εἶναι*⟩ supplevi ad Senecae verba *Aethiopiam ferventissimam esse*   17 *ὅθαν T* | *καὶ* omis. *T*

γῆν οἰκοῦσιν, ὅ τε ἄργυρος κατ' ἐκεῖνον τὸν τόπον ἀπο- X
μολυβοῦται καὶ οὐδεμία ὕλη οὐκ ἀποτήκεται· ἄλλως δὲ πολλοὺς εἶναι ποταμοὺς ἐκκειμένους τῷ νότῳ, ὧν οὐδένα δρῶμεν καίπερ ὑπερκειμένων ὀρῶν πλημμυροῦντα τῷ θέρει. Εὐθυμένης δὲ ὁ Μασσαλιώτης φησὶ διαπλεῦσαι τὴν Ἀτλαντικὴν θάλατταν, ἐξ ἐκείνης τε ἰδεῖν τὸν Νεῖλον ἐκτρέχοντα καὶ τότε μᾶλλον ὀγκοῦσθαι, ὅταν οἱ λεγόμενοι ἐτήσιοι πνέωσι· τότε γάρ φησιν ἐξωθεῖσθαι ὑπὸ τῶν ἀνέμων τὴν θάλατταν, τούτων δὲ πανομένων ἡσυχάζειν. γλυκὺ δὲ σχεδὸν τὸ τῆς Ἀτλαντικῆς θαλάττης ὕδωρ, καὶ ὅμοια ⟨τὰ⟩ ταύτης θηρία τοῖς τοῦ Νείλου. ἀντιλέγει δὲ καὶ ταύτῃ τῇ δόξῃ ὁ Σενέκας φάσκων, τὸ μὲν γλυκὺ καὶ λεπτὸν ὕδωρ ὑπὸ τοῦ ἡλίου ἀναρπάζεσθαι καὶ τρόποις ἅπασιν ἁλμυρὰν εἶναι πᾶσαν θάλασσαν, καὶ μηδὲν ἀληθὲς εἶναι τοῦτο· εἰ γὰρ τοῦτο ἦν, καὶ τῷ χειμῶνι ἂν ἐπεδίδου ὁ Νεῖλος, καὶ ἔτι μᾶλλον, ὅσῳ καὶ βιαιοτέρα ἡ τῶν ἀνέμων φορά· ἔτι δὲ καὶ ἰλυώδης μᾶλλον καὶ κυανοῦς φαίνεται, ὅπερ ἀλλότριον θαλαττίων ὑδάτων. μεθ' ὃν Διογένης ὁ Ἀπολλωνιάτης φησί, τοῦ ἡλίου ἁρπάζοντος τὴν ὑγρότητα, ἕλκεσθαι ὑπὸ τῆς ξηρᾶς τὸν Νεῖλον ἐκ τῆς θαλάττης· σηραγγώδης γὰρ κατὰ φύσιν ὑπάρχουσα καὶ διατετρημένη ἕλκει πρὸς ἑαυτὴν τὸ ὑγρόν, καὶ ὅσῳ μᾶλλον ξηροτέρα ἡ γῆ τῆς Αἰγύπτου,

v. 5 Euthymenes FHG IV p. 408   13 Seneca l. s.   20 Diogenes vgl. Diels Verh. der 35. Philol. Vers. p. 106 ff.

v. 1 οἰοῦσιν *A*, ἰοῦσιν *B*, οἰκοῦσιν *A*, *T* | ἀπομολιβοῦται *AB*   2 ἄλλως τε δὲ *AB*   3 ὧν *AB*, ὃν *T*   5 εὐθυμέλης A_1 8 πνένσι *A*, πνέουσι *B*, πνέωσιν *T*   11 ⟨τὰ⟩ add. Bekker   13 ὁ omis. *T*   17 ὅσον *T*   18 δὲ omis. *T* | μᾶλλον ἢ κυανοῦς *AB*   19 ἀλλοτρίων *AT*   20 ὃν *A*, ὧν *BT* | ἀπολλωνιάδης *BT*   21 ὑπὸ *AB*, ἀπὸ *T* | γῆς ξηρᾶς suspicatur Gu. Kroll collatis Senecae verbis   22 καὶ διατετρημένη ὑπάρχουσα *B*

X τοσούτῳ πλέον ἕλκει πρὸς ἑαυτὴν τὴν νοτίδα, καθάπερ τὸ ἔλαιον ἐπὶ τῶν λύχνων ἐκεῖσε πλέον ὁρμᾷ, ὅπη καὶ δαπανᾶται ὑπὸ τοῦ πυρός. ὁ δὲ Ἡρόδοτος παρὰ πάντων τῶν ποταμῶν ἕλκειν τὸν ἥλιον τὸ ὑγρόν φησι τὴν πρόσγειον νότου ζώνην διατρέχοντα, πρὸς δὲ τῷ θέρει πρὸς βορρᾶν ἐκκλίνοντα ἐκκαλεῖσθαι τὸν Νεῖλον, καὶ διὰ ταύτην τὴν αἰτίαν αὐτὸν ἀναχεῖσθαι κατὰ τὸ θέρος. οἱ δὲ Αἰγύπτιοί φασι, τοὺς ἐτησίους πάσας ἐξ ὑπερτέρου τὰς νεφέλας ἐπὶ τὸν νότον ἐξωθεῖν καὶ ἐκεῖθεν βαρείας καταφερομένης βροχῆς ἀναβλύζειν τὸν Νεῖλον. Ἔφορός γε μὴν ὁ Κυμαῖος ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν φησιν, ἀραιὰν εἶναι κατὰ φύσιν τὴν Αἴγυπτον, καὶ κατ' ἔτος ἐπαγομένης ἰλύος ὑπὸ τοῦ Νείλου στεγανοῦσθαι, τὸν δὲ ποταμὸν δίκην ἱδρῶτος κατὰ τὸν καιρὸν τοῦ καύματος ἐπὶ τὰ κουφότερα καὶ ἀραιότερα καταρρεῖν. ἀλλὰ καὶ Θρασυάλκης ὁ Θάσιος τοὺς ἐτησίους φησὶν ἐξωθεῖν τὸν Νεῖλον· τῆς γὰρ Αἰθιοπίας ὑψηλοῖς παρὰ τὰ καθ' ἡμᾶς ὄρεσι διεζωσμένης, ὑποδεχομένης τε τὰς νεφέλας πρὸς τῶν ἐτησίων ὠθουμένας ἐκδιδόναι τὸν Νεῖλον· ὡς καὶ Καλλισθένης ὁ Περιπατητικὸς ἐν τῷ τετάρτῳ βιβλίῳ τῶν Ἑλληνικῶν φησιν, ἑαυτὸν συστρατεύσασθαι Ἀλεξάνδρῳ τῷ Μακεδόνι, καὶ γενόμενον ἐπὶ τῆς Αἰθιοπίας εὑρεῖν τὸν Νεῖλον ἐξ ἀπείρων ὄμβρων κατ' ἐκείνην γενομένων

v. 3 Herod. II, 24 11 Ephorus frg. 108, FHG I p. 263 20 Callisthenes frg. 6, Script. rer. Alex. p. 12

v. 2 τὸν λύχνον *T* | ὁρμαῖ *T* 4 ἕλκον *T* 5 προσγεινόστου *A* | τοῦ νότου *T* 6 ἐκλίνοντα *T* 8 τὰς *X*, τοὺς ci. Bekker 9 νῶτον *T* 11 πρώτη *X*, ἐνδεκάτῃ ci. Marx 18 ὑψηλῆς *T* 19 ἀποδεχομένης *T* 22 φησὶν post περιπατητικὸς posuit *T* 23 γενόμενος *BT*

καταφερόμενον. ἀλλὰ καὶ Δικαίαρχος ἐν περιόδῳ γῆς X *ἐκ τῆς Ἀτλαντικῆς θαλάττης τὸν Νεῖλον ἀναχεῖσθαι βούλεται. ποικίλαι μὲν οὖν αἱ περὶ αὐτοῦ δόξαι, τὸ δ' ἀληθὲς κατὰ τοὺς ἀνθρώπους τέως οὐδαμοῦ· κατὰ γὰρ τὸ λόγιον*

τὸ δ' ἀτρεκὲς ἐν βαθεῖ ἐστι.

Χρῆστος δὲ ὁ Ῥωμαῖός φησιν· 'ἐπὶ τῆς δύσεως ὄρη μέγιστα καὶ ὑψηλότατά εἰσιν, ἃ τὴν Λιβύην ἀπὸ τῆς Αἰθιοπίας χωρίζουσι, τούτων ταῖς ἐσχάταις ῥίζαις τὸ Ατλαντικὸν ἐπιπῖπτον πέλαγος, ἔνθεν τὴν ἀρχὴν Αἰθιοπία ἀπὸ τῆς δύσεως λαμβάνει. ὑπὸ τοίνυν τούτοις τοῖς ὄρεσι λίμναι εἰσὶν εἰς ἄπειρον πλατύτητος ἡπλωμέναι· παροικεῖ δὲ αὐτὰς γένος ἀνθρώπων τῶν λεγομένων Ἰχθυοφάγων, ὅπερ ἀπὸ πρώτης ὥρας ἄχρι δυσμῶν ἡλίου ἐν τῷ ὕδατι διατρίβει καὶ τοῖς ἰχθύσι τρέφεται. τούτοις ὁμοροῦσιν οἱ λεγόμενοι Ἀνθρωποφάγοι, γένος ἀνθρώπων ἀνδρειότατον, ῥισὶ στρογγύλαις χρώμενον, προσώποις ἐπικαμπέσιν, ὄνυξιν ἐγγὺς λέουσιν ὁμοίοις. ἐκ τῶν λιμνῶν οὖν ἐκείνων τὰς ἀφορμὰς ὁ ποταμὸς λαμβάνει· προϊόντα γὰρ ἐξ αὐτῶν τὰ ῥεύματα συνηρεφῆ ἀποτελοῦσιν. ἐκ τούτων δὴ τῶν λιμνῶν, ἃς καλοῦσιν ἐκεῖνοι Χαάς, ἐκρεῖ λεπτότατόν τι ῥεῦμα καὶ μόλις δρώμενον, ὅπερ εἰς στενοὺς τόπους καὶ κατὰ μέρος ἐκ διαφόρων μερῶν εἰς κοίτην ἰδίαν καταπῖπτον ὄψιν ποταμοῦ λαμβάνει. οὗτος δ' ἂν εἴη ὁ Νεῖλος, ὅστις ἐπὶ διαφόρων κλιμάτων εἰλούμενος γί-

v. 1 Dicaearchus frg. 52, FHG II p. 251

v. 3 *καὶ ποικίλαι T* | *οὖν* omis. *T* 7 *αἴχρη A*, corr. *ὁ χρηστὸς* A_2 et del. *ὁ*; *χρῆστος BT* et in marg. *Probus Romanus T* | *ὄρη μεγάλα B* 11 *τούτοις τοίνυν T* 12 *εἰς* omis. *BT* | *ἄπειροι T* 18 *ἐπικαρπέσιν B* 19 *λιμένων B* 21 *συνηρεφεῖς AT*

X *νεται διὰ τόπων δασέων καὶ ἀνοδεύτων, ὧν τὰ . . . ἐκεῖθεν εἰς ὁμαλὸν ἐκχεῖται καὶ πάλιν εἰς ποταμοῦ κοίτην συνάγεται, καὶ ναυσίπορος λοιπὸν ἐπὶ τὴν Μερόην διὰ τῶν ἀοικήτων τοῦ νότου μερῶν φέρεται καὶ ταύτην περιρρέων νῆσον ἀποτελεῖ· ἔστι γὰρ πᾶσα ὁμαλή. κἀκεῖθεν τὸ λοιπὸν ὁ πᾶς ἐγκλειόμενος ἐπὶ τὴν ἀνατολὴν ῥέπει καὶ ἐπὶ τὴν Αἴγυπτον, κακεῖθεν εἰς θάλασσαν σφροδοτέρου πνεύματος καταπνέοντος· ἐκ τῆς βίας γάρ, ὡς εἴρηται, τοῦ βορείου πνεύματος ἀνακλώμενος ὁ ποταμὸς καὶ μᾶλλον ἀνεκχεόμενος πᾶσαν καταλιμνάζει τὴν Αἴγυπτον. εὔρου δὲ ἐκ τῆς ἀνατολῆς τοῖς ἐτησίοις ἀντιπνέοντος ἢ νότου ἀπὸ μεσημβρίας ἐξωθοῦντος τὸν Νεῖλον, εἰκότως ὁ ποταμὸς ἐπὶ τὴν θάλασσαν — λωφήσαντος ἠρέμα τοῦ βορρᾶ — κατατρέχει. κἀκεῖνο δὲ τεκμήριόν ἐστι τοῦ μὴ ἀπὸ τήξεως χιόνων αὔξεσθαι αὐτόν, ὅτι οὐ ψυχρός ἐστιν, ἀλλὰ θερμός, καὶ διὰ τοῦτο ὑπονοστοῦντος τοῦ ὕδατος εὑρίσκεται ἐπὶ τῆς ἰλύος ζῶά τινα ἐκ μέρους διαπεπλασμένα καὶ ἐκ μέρους κνώδαλα. πέφυκε δὲ τὰ τοιαῦτα θερμότητι καὶ ὑγρότητι ζωογονεῖσθαι, ὅπερ ἐπὶ τῶν ἄλλων ὑδάτων οὐκ ἔστιν· ἰχθύας γὰρ καὶ μόνους ἔχουσι. καὶ οἱ μὲν ἄλλοι στοχαζόμενοι λέγουσιν, ἐγὼ δέ — φησὶν ὁ Χρῆστος — γενόμενος ἐν τῷ ἀκρωτηρίῳ τῆς Μαυρουσίας ἐν τῷ στομίῳ τοῦ Ὠκεανοῦ'.*

S 108. *Ὅτι ὅπη ἂν πυρὸς νομὴ καίοιτο, σηραγγώδη* deest Rr

v. 1 *ὧν τὰ* *X*, *ὄντων* ci. *Rr*, ego lacunam indicavi 2 *ἰσομαλῶν* *T* | *κοίτην* *A*, *κοῖλος* *BT* 3 *συνάγεται ἐναντη πόρος λοιπὸν* *A* 4 *φαίνεται* *X*, *φέρεται* ci. Hase | *καὶ ταύτην* omis. *T* 6 *τὸ λοιπὸν* — 7 *κἀκεῖθεν* omis. *B* | *ὁ πᾶς* *AT*, *ὅτι πλεῖστον* ci. *Rr* 9 *βαρείου* *A* 10 *ἀνεχεόμενος* *A* 11 *εὖρος* *T* 13 *ἐξωθοῦντα* *T* 14 *βαρρᾶ* *A* 15 *τὸ μὴ* *X*, *τοῦ μὴ* corr. *Rr* 17 *Ovidius metam. primo* *B* marg. | *ἀπονοστοῦντος* *T* 21 *ὑδάτων* omis. *T* 23 *χρηστὸς* *T*

ἀνάγκῃ τυγχάνειν τὴν ἐν βάθει γῆν, ἐξ ἧς αἰτίας τὰ S
θερμὰ ὕδατα. διὸ καὶ βλεννώδης ἡ φύσις τῶν τοιού-
των ὑδάτων, ἐπεὶ καὶ θαλάττια· τῷ δὲ πυρὶ τὸ ἁλμυ-
ρὸν ἐπὶ τὸ σικχὸν μεταβάλλουσα ἀσφαλτώδης τε ἅμα
καὶ στυπτηρίας καὶ θείου ἔμπλεως γίνεται. †οὐ καθαί-
ρει μᾶλλον ὑποξηραίνουσα τῶν ἀτμῶν τῆς ἀσφάλτου
τῇ πλείονι τῶν ὑδάτων ὑγρότητι βυθιζομένων.

RrIV69 109. *Κέστιος ὁ ὑπατικὸς τῆς Ἱερουσαλὴμ ἡγού-* X
μενος νυκτὸς τὴν εἰκόνα τοῦ Νέρωνος ἀνέστησεν ἐν
τῷ τῶν Ἑβραίων ἱερῷ, ὥστε κοινωνεῖν τῆς τιμῆς τῷ
θεῷ τὸν Νέρωνα· οἱ δὲ ἀγανακτήσαντες αὐτόν τε Κέ-
στιον καὶ πάντας Ῥωμαίους τοὺς ἐπὶ τῆς ἀνατολῆς
εὑρεθέντας ἀνεῖλον καὶ φανερῶς τοῖς κρατοῦσιν ἀνε-
κήρυξαν τὸν πόλεμον.

70 110. *Ἐρρουσάλους Ῥωμαῖοι τοὺς ἀλήτας καὶ πλα-*
νωμένους καλοῦσιν· οἱ δὲ ἰδιῶται ἐρρούλλους αὐτοὺς
ἐξ ἀγνοίας λέγουσιν.

Αὔγουστος.

71 111. *Ἕπεται δὲ ἀπὸ μὲν τοῦ ἦρος ὁ ἕκτος, ἀπὸ δὲ*
τῆς λεγομένης Αὐξιφωτίας ἑορτῆς ὁ ὄγδοος. ὅτι δὲ
ἕκτος ἀπὸ τοῦ Μαρτίου, ἐξ αὐτῆς ἐστι λαβεῖν τῆς ἀρ-

v. 10 *ἱερῷ τῶν ἑβραίων B* 17 *λέγουσιν A*, *καλοῦσιν B* 19 *ἕπεται* — p. 150, 4 *προσηγορίαν X* | *ὁ αὔγουστος μὴν ἑξτίλιος πάλαι τοῖς ῥωμαίοις κατωνομάζετο, ὃ ἐστιν ἕκτος ἀπὸ μαρτίου μηνός H* f. 166ᵛ, *αὔγουστος ὁμοίως ἀπὸ αὐγούστου καίσαρος· πρότερον δὲ σεξτίλιος ὠνομάζετο, ὡς ἕκτος ἀπὸ μαρτίου· μετωνομάσθη δὲ εἰς τιμὴν αὐγούστου, ὡς καταπαύσαντος τοὺς ἐμφυλίους πολέμους καὶ ὁμονοῆσαι πάντας πείσαντος· καὶ ἐπειδὴ* (p. 150, 8) etc. *Y*, cf. Georg. Cedren. hist. comp. p. 294, 9 Bonn: *ὁ δὲ Σεξτίλιος ἀπὸ Αὐγούστου ὃ ἐστι σεβαστός.* similia *R* f. 8ʳ. de ost. p. 60, 8 Wachsmuth: *Σεξτίλιος τὸ πάλαι καὶ οὗτος ὁ μήν, Αὔγουστος δὲ . . πρὸς μνήμης Αὐγούστου Καίσαρος μετεκλήθη, ὡς ἡ ἱστορία λέγει.*

X χαίας τοῦ μηνὸς τούτου προσηγορίας· Σεξτίλιος ⟨γὰρ⟩
μετὰ τὸν Κυντίλιον ὠνομάζετο· ὅθεν οἱ μετ' αὐτὸν
ἄχρι τοῦ δεκάτου οὐ κυρίαν, ἀλλὰ τὴν ἐξ ἀριθμῶν
H ἕλκουσι προσηγορίαν. Αὔγουστος δὲ ὕστερον μετωνο-
μάσθη, ὡς μέν τινές φασιν, ὑπὸ τοῦ Αὐγούστου Καί-
σαρος διὰ τὸ ἐν τῷ μηνὶ τούτῳ τοὺς ἐμφυλίους παῦ-
σαι πολέμους, οὓς τότε πολλοὺς εἶχεν ἡ Ῥώμη, καὶ εἰς
Y ὁμόνοιαν τοὺς Ῥωμαίους ἤδη καταστῆσαι· καὶ ἐπειδὴ
ὄγδοός ἐστιν ἀπὸ Ἰανουαρίου, τούτῳ τῷ ὀγδόῳ τὸ
ὄνομα τοῦ τῆς ὁμονοίας αὐτοῖς αἰτίου ἀνέθεντο. κατὰ
γὰρ τοὺς Πυθαγορικοὺς ὁμολογία καὶ πειθὼ ἡ ὀκτὼ
καλεῖται· πρῶτος γάρ ἐστι κύβος τὴν τοῦ παντὸς αἰ-
σθητοῦ ἰδέαν περιέχων, κατά τε μῆκος καὶ πλάτος καὶ
βάθος, καὶ καλῶς ὁμολογία καλοῖτ' ἄν· ἐν αὐτῷ γὰρ
H τὰ περιττὰ τοῖς ἀρτίοις ὡμολόγησαν. ὡς δὲ ἕτεροί
φασι, τοῦ Αὐγούστου Καίσαρος τῷ μηνὶ τούτῳ ἀπο-
θανόντος οἱ Ῥωμαῖοι πρὸς τιμὴν αὐτοῦ Αὔγουστον τὸν
XHS μῆνα ὠνόμασαν. καὶ οὗτος δὲ ὁ Αὔγουστος Καῖσαρ, RrIV 72
υἱὸς Ὀκταβίου, Ὀκταβιανὸς πρότερον ἐκαλεῖτο, ἐπ' ἀδελ-
φῇ γαμβρὸς γενόμενος Γαΐῳ Ἰουλίῳ τῷ Καίσαρι· μετὰ
X ⟨δὲ⟩ τὰ πολλὰ καὶ μεγάλα ἐκείνου τρόπαια πολλοῖς ὀνό-
μασιν ἐτιμᾶτο· οἱ μὲν γὰρ αὐτὸν ὠνόμαζον Κυρῖνον
XHS οἱονεὶ Ῥωμύλον, ἄλλοι Καίσαρα, ψήφῳ δὲ κοινῇ τῶν
ἀρχιερέων καὶ τῆς βουλῆς Αὔγουστος ἐπεκλήθη· Αὔ-

v. 1 ⟨γὰρ⟩ supplevit Hase 3 *αὔγουστος* — 8 *καταστῆσαι* *H* 8 *καὶ ἐπειδὴ* — 15 *ὡμολόγησαν* *Y* 15 *ὡς δὲ ἕτεροι* — *εἰς βασιλείαν καλοῦσι* (p. 151, 3) *H* 18 *καὶ οὗτος δὲ ὁ αὔγουστος καῖσαρ ὀκτάβιος πρότερον ἐκαλεῖτο, ψήφῳ δὲ τῶν ἀρχιερέων κοινῇ καὶ* (24) *H*, *ὅτι ὁ ὀκταβιανὸς καῖσαρ ἐπ' ἀδελφῇ* — 21 *τρόπαια ψήφῳ τῶν ἀρχιερέων κοινῇ καὶ* (24) *S*, *ὀκταβιανὸς υἱὸς ὀκταβίου νίκας πεποιηκὼς μεγάλας πολλοῖς ὀνόμασιν ἐτιμᾶτο· οἱ μὲν* (22) etc. *X* 21 ⟨*δὲ*⟩ addidi 23 *δὲ* omis. *BS*, *Virgilius in buc. B* in marg. | *τῶν ἀρχιερέων κοινῇ HS* 24 *ἐπεκρίθη HS*

γουστον δὲ οἱ Ῥωμαῖοι κατὰ τὴν πάτριον σημασίαν XHS
καλοῦσι τὸν κατ' οἰωνὸν καὶ θεῶν μαρτυρίαν προαγόμενον εἰς βασιλείαν. ὅτι μετὰ πολλὰς ὅσας ἀρί- S
στας αὐτοῦ πράξεις ὁ Αὔγουστος τὸν ἀπὸ τῆς μετοπωρινῆς ἰσημερίας πεντεκαιδεκαετῆ κύκλον εἰσήγαγε καὶ τούτῳ τοῖς φιλοσοφοῦσιν ἑπόμενος, οἵ φασι τὴν ἰσημερινὴν ὥραν συνεστάναι ἐκ δεκαπέντε μοιρῶν. ὅτι οἱ Ῥωμαῖοι Αὔγουστον τὸν μῆνα ὠνόμασαν εἰς τιμὴν τοῦ Αὐγούστου Καίσαρος ἀποθανόντος ὥς φασι κατὰ τὴν ἑκκαιδεκάτην τοῦ τοιούτου μηνός.

RrIII39 112. *Ὅτι Αὔγουστος τὸν τοῦ Σοφοκλέους Αἴαντα* Y
εἰς τὴν πάτριον φωνὴν μετήνεγκεν· εἶτα ἀκμαζούσης αὐτῷ μετὰ τὴν πρακτικὴν καὶ τῆς ἐκ λόγων ἀρετῆς, ὡς ἀναξίαν ἐκ παραβολῆς πρὸς Σοφοκλέα τὴν ἑαυτοῦ διεγίνωσκε τραγῳδίαν, ταύτην ἐξήλειψεν. εἶτα ἐρω- YS
τηθεὶς πρὸς τοῦ Κικέρωνος, παρ' ᾧ μετὰ σπουδῆς ἐπαιδεύετο· 'ποῦ τυγχάνει ὁ παρὰ σοῦ γραφόμενος Αἴας;' ἀστείως ἅμα καὶ νουνεχῶς ἀπεκρίνατο, σπόγγῳ τὸν ἑαυτοῦ Αἴαντα, καθάπερ σιδήρῳ τὸν τοῦ Σοφοκλέους, ἐπιπεσεῖν. καὶ τοσαύτη τις αὐτῷ φρον- Y
τὶς οὖσα περὶ λόγους ἐτύγχανεν, ὡς ἄρχοντος ἀπαιδεύτου γράψαι πρὸς αὐτὸν δημοσίαν τολμήσαντος ἐπιστολὴν οὕτως ἀγανακτῆσαι, ὡς παραλῦσαι τῆς ἀρχῆς

v. 1 *οἱ* omis. *HS* | *κατὰ — σημασίαν* omis. *S* | *σημασίαν αὐτῶν τὸν H* 2 *καλοῦσι X*, *φασι S*, *καλοῦσι* post *βασιλείαν* posuit *H* | *κατὰ H* (*οἰωνὸν καὶ* omis.) | *κατ' οἰωνὸν S*, *καθ' οἰονοῦν A*, *καθιεροῦν* A_2 *B* | *θεῶν A*, *θεοῦ BHS* | *μαρτυρίαν A*, *μαρτυρίας BHS* | *προαγόμενος A*, *προσαγόμενον BH*, *προαγόμενον S* 3 *βασιλείαν*] *μαρτυρίαν.* cet. des. *X* | *ὁσαύτας S*, quod correxi 11 *ὅτι αὔγουστος* — p. 152, 7 *διαλέγεσθαι Y* praeter *D* 15 *ὅτι ὁ αὔγουστος ἐρωτηθεὶς παρὰ τοῦ* — 20 *ἐπιπεσεῖν S* 17 *τυγχάνοι Y* | *παρὰ σοῦ* omis. *Y* | *γραφεὶς αἴας λόγος S* 18 *αἴας αὐτὸν ἀστείως Y* | *ἀποκρίνασθαι Y* 19 *εἰπὼν σπόγγῳ S* | *αὐτοῦ Y*, *ἑαυτοῦ S* 22 *δημοσία C*

τὴν ἀπαίδευτον. καὶ μέτρον δὲ καὶ ὅρον ταῖς τε εὐωχίαις καὶ ταῖς προιξὶν ἔθηκε, πρῶτος ἐπὶ τῇ ἑαυτοῦ θυγατρὶ τοῦτο ποιήσας. τῆς δὲ τῶν ὑπηκόων ἐλευθερίας τοσοῦτον ἐφρόντιζεν, ὥστε τινὸς τῶν κολάκων ἐπὶ τῆς βουλῆς δεσπότην αὐτὸν ὥσπερ ἐν ὑπεροχῆς τρόπῳ καλέσαντος, αὐτὸς ἐξαναστάς· 'ἐγὼ δέ', ἔφη, 'ἐλευθέροις, ἀλλ' οὐ δούλοις ἔμαθον διαλέγεσθαι'.

S 113. Ὅτι ὁ Χάρης φησί· deest Rr

δαπάνην ἄκαιρον μηδαμοῦ προσίεσο,
γαστρὸς δὲ πειρῶ πᾶσαν ἡνίαν κρατεῖν.

114. Ὅτι οἱ Γάλλοι διὰ τῶν ὑπονόμων ἐπελθόντες deest Rr τῇ Ῥώμῃ νυκτὸς κατέσχον τὸ Καπετώλιον· τοιούτους γὰρ τοὺς ὑπονόμους τῆς Ῥώμης Σέρβιος Τοῦλλος κατεσκεύασεν ὁ ῥῆξ, ὡς ἅμαξαν πλήρη χόρτου δύνασθαι δι' αὐτῶν παρενεχθῆναι. τῶν δὲ ἐν τῷ ἱερῷ χηνῶν ἰδόντων τοὺς πολεμίους καὶ ἀνακλαγξάντων — καὶ γὰρ ἄγρυπνος ἡ φύσις αὐτοῖς — ὁ στρατηγὸς διαναστὰς ἐξώθησε τοὺς βαρβάρους ἐκ τοῦ ἱεροῦ· εἶτα καὶ δυνάμεως συναχθείσης κατέστρωσεν· ἔνθεν ἑορτὴν μὲν καὶ τιμὰς τῶν χηνῶν, ἀνθ' ὧν ἐφύλαξαν τὴν πόλιν,
Y ὄλεθρον δὲ τῶν κυνῶν. τῇ ⟨γὰρ⟩ πρὸ τριῶν Νωνῶν Rr III 40
Αὐγούστων ἀνῄρουν ἀκωλύτως ἐν Ῥώμῃ τοὺς κύνας εἰς τιμὴν τῶν χηνῶν, ὅτι τὸ Καπετώλιον οἱ μὲν κύνες

v. 3 cf. de mag. I, 6 10 posterior versus legitur primus in Charetis, tragici poëtae, fragmento primo, Nauck p. 826 15 cf. de mag. I, 50

v. 8 ὅτι ὁ χάρης — 21 τῶν κυνῶν *S* 21 ὄλεθρος *S*, quod correxi | ὅτι τῇ (τῇ omis. *DE*) πρὸ — p. 153, 6 αἴτιος εἶναι *Y*, τῇ ⟨γὰρ⟩ πρὸ scripsi 23 κατὰ τοῦτον τὸν μῆνα ῥωμαῖοι τοὺς κύνας ἀνήρουν ἢ διὰ τὸ μὴ λυττῆσαι αὐτοὺς ἢ διὰ τὸ μὴ τοῖς νοσοῦσι γίνεσθαι ἐπὶ τῶν νυκτῶν ὀχληρούς *H* f. 167r, καὶ τὴν τῶν κυνῶν δὲ ἐτέλουν πανήγυριν οἱ Ῥωμαῖοι κατὰ τὸν Αὔγουστον μῆνα, ἀναιροῦντες αὐτοὺς ἐκ τῆς ἁλώσεως τῆς ὑπὸ Γάλλων, διότι ἀνύλακτοι ἔμειναν τῶν χηνῶν ἀναβοησάντων Suid. s. v. Μαϊουμᾶς e Lydo exscripsit.

προέδωκαν ὑπνώσαντες, οἱ δὲ χῆνες ἐγρηγορότες διέσωσαν. Y οἱ δέ φασιν, ὅτι τοῦτο ἐποίουν, ἵνα μὴ ὀχληροὶ τοῖς νοσοῦσι νυκτὸς γίνωνται· οἱ δέ, ἵνα μὴ λυττῶντες τοὺς ἀνθρώπους βλάπτωσι· τηνικαῦτα γὰρ ὁ σείριος ἀνατέλλει, ὃς καὶ δοκεῖ τῆς λύττης αὐτοῖς αἴτιος εἶναι.

deest Rr 115. Ὅτι πολὺ ἐν τῷ βάθει τῆς γῆς ἐπινοστοῦν τὸ S κατάγειον πῦρ τὴν πιμελώδη νέμεται ⟨οὐσίαν⟩· αὕτη δ' ἐστὶ στυπτηρία ἢ θεῖον· ἡ γὰρ ἄσφαλτος κεκαυμένον ἐν γῇ καὶ ἐναποσβεννύμενον θεῖόν ἐστι· τούτου γὰρ τὸ μὲν ἐπ' ὀλίγου διακαέν, ἅτε παραχρῆμα διασβεννύμενον, ὑγροτέραν τε καὶ πιμελωδεστέραν ἐργάζεται τὴν ἄσφαλτον, οἷα τὰ κατ' Αἴτνην καὶ κατὰ τὴν ἐν Ἰουδαίᾳ λίμνην ἐπινήχεται· διακαὲν δὲ σφοδρότερον λιθοῦται, οἷός ἐστιν ὁ γαγάτης λίθος ὁ περὶ Βαβυλῶνα. ἡνίκα γοῦν τὸ ὑπονοστοῦν τοὺς ὑποκειμένους νέμεται τόπους, οὐδὲν ἡμῖν πάθος ἐπιδείκνυσι γῆς· ὁπόταν δὲ ἐργασάμενον πολὺν ἐξαραιώσῃ τόπον, τηνικαῦτα θλιβόμενον ἐν τοῖς κοιλώμασι καὶ σηραγγώδεσι τόποις, εἰ μὲν ἐπιτύχοι διεκδρομῆς, οὐδὲν πλέον βρασμοῦ γῆς καὶ μυκήματος ἐργάζεται σημεῖον· εἰ δ' αὖ μένει σωματούμενον ἤτοι .... ὑπερκείμενον ὄρος ἢ γῆν ἢ θάλασσαν, ὄρος μὲν ὡς τὸ ἐν Ἰταλίᾳ Βέσβιον καὶ ⟨τὸ ἐν⟩ Λιπάραις καὶ τὸ ὑπερκείμενον τῆς Καταναίων πόλεως ἐν Σικελίᾳ, θάλασσαν δὲ ἣν Παναίτιος μεταξὺ Λιπάρας καὶ τῆς Ἰταλίας ἱστορεῖ, γῆν δὲ οἷα τυγχάνει παρὰ τὴν ἐν Λυκίᾳ Κώρυκον. οὐ μόνον δὲ ἀναρρήγνυσιν ὄρη τε καὶ γῆν, ἀλλὰ καὶ ⟨θαλάσσης⟩ ἀναφυσήματα ποιεῖ, ὥσπερ γέ-

v. 7 **ὑπονοστοῦν**? cf. v. 16 8 ⟨**οὐσίαν**⟩ addidi 22 lacunam indicavi, quam verbis ⟨**θλιβόμενον, διάπυρον ἀπεργάζεται τὸ**⟩ explere studet S. Sudhaus 23 ⟨**τὸ ἐν**⟩ addidi 28 ⟨**θαλάσσης**⟩ addidit Sudhaus

S γονε τὰ περὶ τὴν Θήραν καὶ Θηρασίαν, καὶ ἐὰν μὲν ᾖ τὰ ἀναστομωθέντα συνεχῶς ἀναφυσῶντα πῦρ, πηγαί τε πυρὸς καὶ κρατῆρες ὀνομάζονται, οἷά ἐστι τὰ περὶ τὴν αὐτὴν Λιπάραν τε καὶ Στρογγύλην καὶ Βέσβιον· ἢν δ' αὖ μύσῃ .... οἷον τὸ κατὰ Φιλαδέλφειαν τὴν ἐν Λυδίᾳ πεδίον καὶ τοὺς πρόποδας τοὺς ἐπὶ Μαζάκοις — οἱονεὶ Καππάδοκας —, καὶ τὸ ἐπὶ Δικαιαρχίᾳ Ἡφαίστου πεδίον ποτὲ προσαγορευθέν.

XS 116. Ὅτι τῶν κομητῶν εἴδη κατὰ μὲν τὸν Ἀρι- Rr IV 73
στοτέλην ἐννέα· κατὰ δὲ τὸν Ῥωμαῖον Ἀπουλήϊον δέκα· ἱππίας ξιφίας πωγωνίας δοκίας πίθος λαμπαδίας
X κομήτης δισκεὺς τυφὼν κεράστης· καὶ ὁ μὲν ἱππίας ἐκ τοῦ δρόμου καὶ τῆς ὀξύτητος οὕτως ὠνομάσθη, πλαγίας δὲ καὶ ἀμυδρὰς ἀκτῖνας διαρραίνει· ὁ δὲ ξιφίας δίκην ξίφους ἢ λόγχης μακρᾶς ἐκτεινόμενος φαίνεται, ὠχρὸς δὲ καὶ νεφελοειδής· ὁ δὲ πωγωνίας τὴν λοφιὰν οὐ κατὰ κεφαλῆς, ἀλλ' ὑποκάτω διαρραίνει δίκην πώγωνος· ὁ δὲ δοκίας ὅμοιος ἐγγύς ἐστι τῷ ξιφίᾳ, ἀλλ' οὐκ ὀξείας ἔχει, ἀμβλείας δὲ τὰς ἀρχάς· ὁ δὲ πίθος ἐκ τοῦ σχήματος· ὁ δὲ λαμπαδίας πυρώδης καὶ δίκην πυρώπιδος λίθου ἢ δένδρου καιομένου πέφυκε διαλάμπειν· ὁ δὲ κομήτης πλατύς ἐστι τὸ εἶδος καὶ ὥσπερ ἱλαρὸς ἀργυροειδεῖς τινας πλοκάμους ἕλκων· ὁ δὲ δισκεὺς ἐξ αὐτῆς τῆς προσαγορίας δίκην δίσκου φαίνεται οὐ λαμπρὸς οὐδὲ ἐρυθρὸς ἀλλ' ὥσπερ

§ 116 Wachsmuth de ost. p. 166 sq. v. 9 Aristot. Meteor. I, 6, 7 p. 342[b] 25 sqq. Bekker

v. 5 lacunam indicavi 7 δικαιαρχίαν *S*, quod correxi 9 ὅτι τῶν — 12 κεράστης *S*, κομητῶν δὲ εἴδη etc. *X* | μὲν omis. *X* | ἀριστοτέλη *X* 10 ῥωμαϊκὸν *S* 12 τύφων *X*, τυφὼν *S* Wachsmuth 19 ἀρχὰς *X*, σειρὰς ci. Hercher, ἀκτῖνας *Rr*, ἄκρας Wachsm. 22 πλατὺς *X*, πραὺς ci. Wachsm.

ἤλεκτρον· ὁ δὲ τυφὼν πυρώδης καὶ αἱματώδης φαί- X
νεται καὶ λεπτούς τινας διαρραίνων πλοκάμους· ὁ δὲ
κεράστης δίκην σελήνης κερατοειδής, ὅς, ἡνίκα Ξέρ-
ξης κατὰ τῆς Ἀττικῆς ἦλθεν, λέγεται φανῆναι. ὁ δὲ XS
Πτολεμαῖος ἐν τοῖς πρὸς Σύρον αὐτῷ γραφεῖσι προσ-
τίθησι καὶ ἕτερον εἶδος κομήτου καλούμενον σάλ-
Rr III 41 πιγγα, φαίνεται δὲ κατὰ τὸ ἀρκτῷον κλίμα. οἱ δὲ XY
φυσικοί φασιν, ὡς συνίστανται οἱ κομῆται ἐν τοῖς ὑπὸ
σελήνην κόλποις ἀστρώδη τινὰ φύσιν ἐπιδεικνύμενοι·
οὐ γάρ εἰσιν ἀστέρες, ἀλλὰ θρομβώσεις τινὲς ἐξ ἀνα-
θυμιάσεως τῆς γῆς ἀποτελούμεναι, ὧν ἡ γένεσις μὲν
ἐξ ἀέρος τοῦ κατὰ συναφὴν ἐγκαταλαμβανομένου τῷ
αἰθέρι· ὅθεν καὶ ἰσοταχεῖς αὐτῷ μέχρι διαπτώσεως Y
συμπεριφέρονται. καὶ ἡνίκα μὲν τὴν ῥύσιν ἐπὶ τὸ
κάτω φερομένην ἔχων ὁ αἰθὴρ περιληφθείη, πωγωνίαι
τε καὶ πίθοι ἀποτελοῦνται, ἡνίκα δὲ πλαγίως, κομῆται.
τάχιον δὲ οἱ πωγωνίαι, πολὺ δὲ καὶ τούτων τάχιον
πίθοι τε καὶ δοκίδες ἐκπίπτουσιν.

IV 74 117. *Δύο Πᾶνάς φασι.* τινὲς δέ φασι τὸν Πᾶνα X
ἐκ Κρόνου καὶ Ῥέας γενέσθαι, ἀντὶ τοῦ ἐκ τοῦ νοῦ
καὶ τῆς ὑγρᾶς οὐσίας, οἷον τῆς ὑλικῆς ἀπειρίας, τόδε
τὸ πᾶν.

75 118. *Ἀποτρεπόμενος τοῦ κατὰ Περσῶν πολέμου*

v. 5 Ptolemaeus: Tetrabibl. II, 8 f. 23ᵛ, cf. Lyd. de ost. p. 32 Wachsmuth

v. 1 τύφων *X*, τυφὼν Wachsm. 4 ὁ δὲ — 7 κλίμα *S* 5 ἐν τοῖς — γραφεῖσι omis. *X* | γραφεῖσι ἕτερον προστίθησι εἶδος *S* 7 ὅτι οἱ κομῆται ἐν τοῖς ὑπὸ σελήνην κόλποις συνίστανται ἀστρώδη — 18 ἐκπίπτουσιν *Y* 8 φασιν omis. *B* 10 εἰ συναστ A, εἰ συναστέρες A_2, εἰσὶν ἀστέρες A_2 marg. *B* 12 ἐγκαταλαμβανομένῳ *B* 13 αἰθέρι. cet. des. *X* 17 πολλοὶ *F* 23 ἀποτρεπτόμενος *B*, in marg. *Cic. ad Att.*

X Ἰουλιανὸς ὑπὸ τοῦ Λιβανίου καὶ ἄλλων πολλῶν οἰωνοσκόπων λέγεται φθέγξασθαι τὸ Ὁμηρικόν·

αἰδέομαι Τρῶας καὶ Τρωάδας ἑλκεσιπέπλους.

ὑπερβαλὼν δὲ τὸν Τίγρητα καὶ πολλὰς πόλεις καὶ φρούρια Περσῶν παραστησάμενος τὸ λοιπὸν ἀφόρητος ἦν τοῖς βαρβάροις· δόλῳ δὲ ὅμως ἀπόλλυται καὶ παμπληθεί. δύο γὰρ Πέρσαι, ἀκρωτηριάσαντες ἑαυτοὺς ὤτων τε καὶ μυκτήρων, ἐλθόντες ἀπατῶσι τὸν Ἰουλιανόν, τοιαῦτα πρὸς τοῦ βασιλέως παθεῖν τῶν Περσῶν ὀδυρόμενοι, δύνασθαι δὲ ὅμως, εἴπερ αὐτοῖς ἕψεται ὁ Ἰουλιανός, ἐπ' αὐτῆς αὐτὸν Γοργοῦς, τῆς βασιλίδος τῶν Περσῶν, νικῶντα καταστῆσαι. ὁ δὲ τῆς πεπρωμένης ἐπειγούσης Ζωπύρου τε ἅμα τοῦ Ἡροδοτείου καὶ Σίνωνος τοῦ Βεργιλιανοῦ ἐπιλελησμένος, τὰς ναῦς καταφλέξας, δι' ὧν τὸν Εὐφράτην παρεφέρετο, ὡς μὴ δήπουθεν Πέρσαις ⟨δοῦναι⟩ ἄδειαν τοῦ χρήσασθαι αὐταῖς, μετρίαν τινὰ δαπάνην κομίζοντος τοῦ στρατοῦ, τοῖς ἀπατῶσιν ἠκολούθησεν· οἱ δὲ εἰς ξηρὰν καὶ ἄνυδρον ἀγαγόντες αὐτὸν δυσχωρίαν τὸν δόλον ἀπεκάλυψαν, καὶ αὐτοὶ μέν — τί γὰρ ἦν πλέον; — ἀπώλοντο, ὁ δὲ βασιλεὺς οὐδὲ προελθεῖν ἐπέκεινα οὐδὲ ἀναστρέψαι τὸ λοιπὸν εὑρίσκων, οἰκτρῶς ἐφθείρετο. ὡς δὲ τὸ πολὺ μέρος τῆς στρατιᾶς διέπεσεν, ἀσθενοῦντι αὐτῷ ἐπῆλθον οἱ Πέρσαι, ἐλαττωθέντες δὲ καὶ οὕτως αὖθις ἐπιτίθενται μηδὲ δύο μυριάδας ἔχοντι τῷ πρὶν

v. 3 Il. Z 442   13 Herod. III 154   14 Verg. Aen. II 79

v. 9 παρεῖν *A*   10 δύνασθαι ὀδυρόμενοι *A*, transposuit A_2 | δὲ omis. *A*   16 ⟨δοῦναι⟩ suppl. Hase   19 ἄνυγρον *B*   20 αὐτὸς *B*   21 προσελθεῖν *B*   23 στρατείας *B*

ἑπτακαίδεκα ἐπαγομένῳ. ὁ δὲ Ἰουλιανὸς ἐμαχέσατο X ἄριστα· εἷς δὲ ἐκ τῆς Περσικῆς φάλαγγος τῶν λεγομένων Σαρακηνῶν, ἐκ τῆς ἁλουργίδος βασιλέα ὑπολαβὼν ἀνέκραγε πατρίως ‘μαλχάν’ οἱονεὶ βασιλεύς· καὶ ἐπαφεὶς ῥοίζῳ τὴν λεγομένην ῥομφαίαν διήλασεν αὐτὸν κατὰ τοῦ ἦτρου. τοῦ δὲ Ὀρειβασίου κομίσαντος αὐτὸν εἰς τὴν παρεμβολὴν καὶ διαθέσθαι τὰ τελευταῖα παραινοῦντος, Ἰουβιανὸν μὲν αὐτὸς ψηφισάμενος βασιλεύειν ἐτελεύτα.

RrIV 76 119. *Οἱ μὲν ἀπὸ μεγάλης ἀρχῆς ῥέοντες ἄνεμοι εἰς* XS *δώδεκα μέρη τοῦ ὁρίζοντος διαιροῦνται, ὧν καὶ ἴσμεν τὰ ὀνόματα ἐν ἄλλοις . . . ., καὶ οἱ μὲν ἀπ' αὐτῶν* X *ἄρκτων καὶ τοῦ κατ' αὐτὰς πόλου ῥέοντες ἀπαρκτίαι καλοῦνται, οἱ δὲ ἀπὸ δύσεως ἰσημερινῆς ζέφυροι, οἱ δὲ ἀπὸ τοῦ ἀφανοῦς νότοι, οἱ δὲ ἀπὸ ἀνατολῆς ἰσημερινῆς ἀπηλιῶται· τῶν δὲ μεταξὺ τῶν εἰρημένων ὁ μὲν προσεχὴς τῷ ἀπαρκτίᾳ καικίας, ὃν ἔνιοι καὶ θρασκίαν λέγουσιν, ὁ δὲ τῷ ζεφύρῳ ἀργέστης, ὃν οἱ μὲν ὀλυμπίαν, οἱ δὲ ἰάπυγα καλοῦσι· τῶν δὲ μεταξὺ ζεφύρου καὶ νότου ὁ μὲν προσεχὴς τῷ ζεφύρῳ λίψ, ὁ δὲ τῷ νότῳ λιβόνοτος· τῶν δὲ μεταξὺ νότου τε καὶ εὔρου ὁ μὲν πλησίον φερόμενος τῷ νότῳ εὐρόνοτος καλεῖται, ὁ δὲ τῷ ἀπηλιώτῃ εὖρος· ὁμοίως δὲ καὶ ἀπηλιώτου μεταξὺ καὶ ἀπαρκτίου, ὁ μὲν προσεχὴς τῷ ἀπηλιώτῃ καλεῖται καικίας, ὁ*

v. 4 ἀνέκραξε *B* 6 ὀριβασίου *A* 8 ἰοβιανὸν *B* 10 ὅτι οἱ μὲν — 12 ἄλλοις *S* | μὲν omis. *X* | ἄνεμοι post διαιροῦνται *S* 11 ὧν — 12 ἄλλοις omis. *X* 12 post ἄλλοις lacunam indicavi, sic fere explendam: ⟨εὑρόντες αὐτὰ⟩ | οἱ] ὁ *B* 14 ἀπὸ τῆς δύσεως *B* 19 ἰαπυγάκλουσιν *A* 21 τῶν ὅτω *A*, corr. A_2 22 τε omis. *B* 23 λιβονότος *X*, εὐρόνοτος scripsi 25 ἀπηλιάτου *A*

XS δὲ τῷ ἀπαρκτίᾳ βορέας. τῶν δὲ μὴ ἀπὸ μεγάλης
ἀρχῆς ὁ μὲν ἀπ' ὀλίγης φορᾶς νέφους ἐκνεφίας, ὁ
δὲ ἀπὸ κόλπων τινῶν καὶ διασφαγῶν κολπίας, ὁ δὲ
ἀπὸ γῆς καὶ συστροφῆς ἀέρος γνοφίας. αὖραι γὰρ
αὗται καὶ ῥύσεις ἀέρων τυγχάνουσιν οὖσαι, καὶ οὐκ
ἀλόγως ἄνεμοι καλοῦνται, ὅτε ἢ ἀπὸ λιμνῶν ἢ ποτα-
μῶν φέρονται· ὅμοιοι δὲ τούτων εἰσὶ καὶ οἱ ἀπόγειοι,
ὅθεν εὐλόγως ἀέρος ἠρεμοῦντος τὸ κατάστημα καλεῖ-
ται νηνεμία.

XHS 120. Κατὰ δὲ τὸν Αὔγουστον μῆνα μαλάχης ἀπέ- RrIV 77
χεσθαι τοῖς γε βουλομένοις ὑγιαίνειν τὰ ἄρθρα τὸ
λόγιον θεσπίζει.

X *Σεπτέμβριος.*

121. Ἀληθῆ λόγον ἐλέγομεν, ὡς ἀρχὴν ἐνιαυτοῦ 78
τὸν Μάρτιον μῆνα ἔταττον οἱ Ῥωμαῖοι, ὡς ἐκ τῆς τοῦ
XYHS παρόντος ἡμῖν μηνός ἐστι λαβεῖν προσηγορίας· Σε-
πτέμβριον γὰρ αὐτὸν ὠνόμασαν, οἷον ἕβδομον ἀπὸ τοῦ
ἦρος — σέπτεμ γὰρ τὰ ἑπτὰ καὶ βὲρ τὸ ἔαρ — τουτέστι
XS τοῦ Μαρτίου μηνός, οὗ κατὰ τὴν τετάρτην καὶ εἰκο-
στὴν ὁ ἥλιος ⟨ἐν⟩ κριῷ γενόμενος τοῦ ἦρος δίδωσι τὴν

v. 1 τῶν δὲ μὴ — 9 νηνεμία *S* | μὴ omis. *X* 3 διασφαγῶν *AS*, διὰ φαράγγων A_2 *B* 4 φαέρος *A* 5 αὐταὶ *X* | φύσεις *X* | οὖσαι omis. *S* 6 ὅταν *S* 7 φέρωνται *S* | τούτοις *S* 10 ὅτι κατὰ τὸν — 12 θεσπίζει τὸ λόγιον *S*, κατὰ τοῦτον τὸν μῆνα καὶ μαλάχης — 11 ἄρθρα θεσπίζει τὰ λόγια, ὥς φασιν *H* f. 167v 11 γε] τε *S*, omis. *B* 15 ἔκ τε τοῦ *A*, ἐκ τοῦ *B*, ἐκ τῆς τοῦ Bekker 16 σεπτέμβριος δὲ ἕβδομος ἀπὸ τοῦ ἦρος· σέπτεμ γὰρ τὰ ἑπτὰ καὶ βὲρ τὸ ἔαρ· ὀκτώβριος ὄγδοος ἀπὸ τοῦ ἦρος, καὶ νοέμβριος καὶ δεκέμβριος ὁμοίως (p. 159, 4) *Y*, τὸν σεπτέμβριον μῆνα οὕτω ῥωμαῖοι ὠνόμασαν, οἱονεὶ ἕβδομον ἀπὸ τοῦ ἔαρος, τουτέστι τοῦ μαρτίου μηνός *H*, τὸν σεπτέμβριον οὕτως ὠνόμασαν — p. 159, 1 ἐνάρχεσθαι *S* 18 σέπτεμ — ἔαρ omis. *XS* 19 κατὰ τὴν ἐνάτην καὶ δεκάτην ὁ ἥλιος *S* | γινόμενος *G* 20 ⟨ἐν⟩ addidi, cf. de ost. p. 298[1]

φύσιν ἐνάρχεσθαι. κἄπειτα οὐ δεήσει περὶ τῆς τῶν X
ἑπομένων προσηγορίας μακρηγορεῖν· ὄγδοος γὰρ ἀπὸ τῶν XY
Αὐξιφωτίων Ὀκτώβριος, καὶ Νοέμβριος καὶ Δεκέμβριος Y
ὁμοίως.

RrIV78 122. *Θεῖος ὁ τῆς ἐννάδος ἀριθμὸς ἐκ τριῶν τριά-* X
δων πληρούμενος, καὶ τὰς ἀκρότητας τῆς θεολογίας κατὰ τὴν Χαλδαϊκὴν φιλοσοφίαν, ὥς φησιν ὁ Πορφύριος, ἀποσῴζων.

79 123. *Τῇ νεομηνίᾳ ὁ Μητρόδωρος λέγει τὴν Ἀνδρομέδαν ἀνίσχειν καὶ τῶν ἄλλων πανομένων ἀνέμων τὸν εὖρον ἐπικρατεῖν.*

80 124. *Τῇ πρὸ τεσσάρων Νωνῶν Σεπτεμβρίων ἐνίκησεν ὁ Αὔγουστος παρὰ τὸν Λευκάτην τοὺς Αἰγυπτίους μετὰ Ἀντωνίου καὶ Κλεοπάτρας· καὶ τούτου χάριν τὸν τῆς λεγομένης ἰνδικτιῶνος κύκλον ἐκ προοιμίων τοῦ Σεπτεμβρίου μηνὸς ἀριθμεῖσθαι εἰσήγαγεν. ἐν ταύτῃ τῇ ἡμέρᾳ ὁ Δημόκριτος λέγει ἐναλλαγὴν ἀνέμων συμβαίνειν καὶ βροχῆς ἐπικράτειαν.*

III42 IV81 125. *Πλείους μὲν αἱ χυμῶν διαφοραὶ κατὰ τὸν* XYS
Ἀπολλώνιον, γενικαὶ δὲ ἐννέα· γλυκεῖα πικρὰ ὀξεῖα δριμεῖα βριγχὴ στρυφνὴ βλεννώδης αὐστηρὰ ἁλμυρά.
ὅθεν δὴ καὶ κατὰ τὸν ἔνατον μῆνα τοῦτον περὶ ὑγείας X
ηὔχοντο οἱ Ῥωμαῖοι.

v. 9 Metrodorus Wachsmuth de ost. p. 297 nr. 17 17 Democritus ibid. nr. 18

v. 1 *ἄρχεσθαι* *X* 2 *γὰρ ὁ ἀπὸ* *A* 3 *αὐξιφωτίων* in ima pagina *A*, cet. des. *X* 10 *καὶ* omis. *B* | *ἀνέμων* omis. *B* 11 *σύρον* *AB*, *εὖρον* A_2 12 *τῇ πρὸ* — 16 *εἰσήγαγεν* Lambecius in Codinum p. 173 nr. 63 13 *τὴν Λευκάτην* Lamb. 19 *ὅτι πλείους μὲν οὖν τῶν* (*πλείους μὲν οὖν τῶν* omis. *Y*) *χυμῶν διαφοραὶ* (*πλείους μὲν* add. *Y*) — 21 *ἁλμυρά* *YS* | *πλείους μὲν* *A*, *πλείους δὲ* *B* | *κατὰ τὸν Ἀπολλώνιον* omis. *Y* 21 *βριχχὴ* *A*, *βλιχχὴ* *S*, *βικχὴ* *Y*, *βρικχὴ* *D* | *βελνώδης* *B*

X 126. *Τῇ πρὸ ὀκτὼ Εἰδῶν Σεπτεμβρίων Εὔδοξος* Rr IV 82
*τὸν ἵππον δύεσθαι καὶ ζέφυρον ἢ ἀργέστην πνεῖν
σημειοῦται.*

127. *Ἴσμεν τῇ κράμβῃ ἐμφυόμενον σκώληκα κάμ-* 82
*πην ὀνομαζόμενον. οὗτος, ἀποξηραινομένης τῷ ἔαρι
τῆς κράμβης, εἰς σκώληκα πτερωτὸν ὡσὰν μύρμηκα,
καὶ μείζονά πως, πέφυκε μεταβάλλεσθαι, πτερύγων
λευκῶν τριγώνων ἀνεχουσῶν αὐτόν, καὶ περιΐπταται
τοῖς κήποις χαμαιζήλῳ καὶ εὐαλώτῳ τῇ πτήσει· ψυχὴν
δέ που τὸν τοιοῦτον σκώληκα καλεῖσθαι συμβαίνει.*

128. *Πρὸ δέκα ὀκτὼ Καλενδῶν Ὀκτωβρίων ὁ Δο-* 83
*σίθεος τὸν ἀρκτοῦρον ἀνίσχειν σημειοῦται. τῇ πρὸ
δεκαδύο Καλενδῶν Ὀκτωβρίων ὁ Καῖσαρ τὰς χελιδόνας
ἐκδημεῖν λέγει.*

129. . . . . *Νικομήδους τοῦ Βιθυνίας τυράννου.* 83

Y 130. *Ὅτι πλεονάσαντος μὲν πυρὸς πυρετὸς γίνεται,* III 43
*ἀφημερινὸς δὲ ἀέρος, τριταῖος δὲ ὕδατος, τεταρταῖος
δὲ γῆς. φιλεῖ δὲ τούτων προκατάρχειν τὸ ῥῖγος. ὁπότ-
αν γὰρ ὑπὸ τοῦ ψυχροῦ — ἐπειδὴ τοῦτο ἴδιον ὕδα-
τός τε καὶ γῆς — τὰ εἰρημένα ὑγρὰ παχυνθῇ, τηνι-
καῦτα φερόμενα διὰ τῶν ἀραιωμάτων ἐξωθεῖν μὲν οὐ
δύναται τὰ πυκνότερα, ἐμπεσόντα δὲ ταῖς τούτων
ἕδραις σύνωσιν καὶ θλίψιν ἐργάζεται, μέχρις ἂν ὑπὸ
τοῦ πυρὸς ἐπειγόμενα τμηθέντα διαχυθῇ, ὅπερ ἀναγ-*

v. 1 Eudoxus Wachsmuth de ost. p. 297 nr. 19 11 Dositheus ibid. nr. 20 13 Caesar ibid. nr. 21

v. 2 *εὔδοξος* post *δύεσθαι* *B* 5 *τωσάρι* *A* 6 *ὡσεὶ* *B* 8 *περιάπαται* *A* 9 *κόποις* *A* | *τῇ* omis. *B* 11 *δεσίθεος* *A*, *δωσίθεος* A_2, *δοσίθεος* *B* 16 *ὅτι πλεονάσαντος* — p. 161, 15 *ἐγένετο* *Y*, *ὅτι πλεονάσαντος* — 161, 2 *ὀνομάζεται* omis. *D*

καίως κλόνον τινὰ καὶ σεισμὸν ἐμποιεῖ, ὃ δὴ πάθος Y *τρόμος καὶ ψῦχος ὀνομάζεται.*

RrIII46 131. *Ὅτι Ῥωμαῖοι μετὰ τὸ νικῆσαι τοὺς Ἄφρους καὶ τὰ ἐκεῖθεν θηρία ἐπὶ τῆς Ῥώμης ἐκόμιζον καὶ ἐπὶ τῆς ἄμμου ἐφόνευον, ὡς μηδὲ τὰ ἐκ τῆς χώρας ἐκείνης θηρία ἀδούλωτα μείνῃ.*

47 132. *Ὅτι τὴν ἱσταμένην ἐν τῷ Βυζαντίῳ στήλην τῆς Τύχης Πομπήϊος ὁ Μέγας ἔστησεν· ἐνταῦθα ⟨γὰρ⟩ τὸν Μιθριδάτην συγκλείσας μετὰ τῶν Γότθων καὶ τούτους διασκεδάσας τὸ Βυζάντιον εἷλε. καὶ μαρτυρεῖ τὸ ἐπὶ τῆς σπείρας τοῦ κίονος ἐπίγραμμα Λατίνοις γράμμασιν, ὃ δηλοῖ τάδε·*

Τῇ Τύχῃ τῇ ἐπανασωστικῇ διὰ τοὺς νικηθέντας Γότθους.

IV83 *ὁ δὲ τόπος ὕστερον καπηλεῖον ἐγένετο. οἱ Γότθοι* X *Γέται.*

83 133. . . . *οἱ δὲ ἰδιῶται δέλφακά φασιν αὐτόν.*

83 134. *Τὸ δὲ λόγιον ἀνὰ πάντα τὸν Σεπτέμβριον* XS *μῆνα γαλακτοποτεῖν ὑπὲρ ὑγείας παρεγγυᾷ.*

Ὀκτώβριος. X

deestRr 135. *Τὸν Ὀκτώβριον Μακεδόνιοι πρῶτον ἔχουσι* H *μῆνα, οἱ δὲ Ῥωμαῖοι ὄγδοον ἀπὸ τοῦ ἔαρος, ὅθεν καὶ Ὀκτώβριον αὐτὸν ὀνομάζουσιν ἀντὶ τοῦ ὄγδοον. Σεμεντίλιος δὲ οὗτος πρότερον ἐκαλεῖτο ἀπὸ τοῦ σπόρου — οὕτω γὰρ Ῥωμαῖοι τὸν σπόρον καλοῦσι. Καλέν-* HS

v. 2 *τρόμος τε καὶ G* 8 ⟨*γὰρ*⟩ addidi 18 *ὅτι τὸ λόγιον* — 19 *παρεγγυᾷ S* 19 *μῆνα* omis. *B* 21 *τὸν ὀκτώβριον* — p. 162, 11 *νόσου H* 25 *ὅτι καλένδαις ὀκτωβρίαις οἱ ἱερεῖς* — p. 162, 11 *νόσου S* | *καλένδαις ὀκτωβρίαις S, κατὰ τοῦτον τὸν μῆνα H*

HS δαις Ὀκτωβρίαις οἱ ἱερεῖς ἐθέσπιζον τῷ δήμῳ, μὴ χρῆ-
ναι προσέχειν τοῖς ὀνείροις διὰ τὰς ἐκ τῆς ὑγρᾶς ὀγκώ-
σεως τῶν τοῦ φθινοπώρου καρπῶν φαντασίας· ἀπὸ δὲ
τῶν Αὐξιφωτίων ἤγουν τοῦ Ἰανουαρίου ὡς μάλιστα
προσέχειν κατὰ τὸ δοκοῦν Ἡροφίλῳ, ὃς καὶ θεοπέμ-
S πτους ἐνέκρινε τοὺς ὀνείρους, ὁ δὲ Δημόκριτος κατὰ τὰς
X παραστάσεις τῶν εἰδώλων. Καλένδαις Ὀκτωβρίαις RrIV 84
φησὶν ὁ Βάρρων τὰς Πλειάδας ἀπὸ ἀνατολῶν ἀνίσχειν.
XHS ἐδόκει δὲ τὸν ὅλον μῆνα πρασοφαγεῖν τοῖς Ῥωμαίοις
ἐξ ἀρχαίας τινὸς παραδόσεως πρὸς ἀποφυγὴν ἀρθρί-
τιδος νόσου.

X 136. Τῇ πρὸ ἓξ Νωνῶν Ὀκτωβρίων Εὔδοξος περὶ 85
τὴν ἑσπέραν βροχὴν ἔσεσθαι ὑπολαμβάνει.

137. Ἐπὶ δὲ τῶν εἰς γῆν βαλλομένων σπερμάτων 85
ἥν τις δύναμις, ἣν ὁ ἥλιος περὶ τὸ κάτω ἡμισφαίριον
ἰὼν ἕλκει κατὰ τὰς χειμερίους τροπάς, Κόρη μὲν ἡ
δύναμις ἡ σπερματοῦχος, Πλούτων δὲ ὁ ὑπὸ γῆν ἥλιος,
ὃς ἁρπάζειν λέγεται τὴν Κόρην, ἣν ζητεῖ ἡ Δημήτηρ
κρυπτομένην ὑπὸ γῆς. ἐν Αἴτνῃ δὲ τῆς Σικελίας τὴν

v. 5 Herophilus Doxogr. gr. 416[a] 14, Galen. XIX 321 Kühn. 6 Democritus Doxogr. gr. 416[a] 7 8 Varro Wachsmuth de ost. p. 297 nr. 22 12 Eudoxus ibid. nr. 23

v. 4 ἤγουν τοῦ Ἰανουαρίου omis. *S* 5 Ἡρόφιλος τῶν ὀνείρων τοὺς μὲν θεοπέμπτους Doxogr. gr. 6 ὁ δὲ Δημόκριτος — εἰδώλων omis. *H* 7 καλένδαις ὀκτωβρίαις etc. *X*, καλένδαις — 8 ἀνίσχειν omis. *HS* 9 ἐδόκει δὲ ῥωμαίοις κατὰ τοῦτον τὸν μῆνα καὶ πρασοφαγεῖν *H*, ὅτι ἐδόκει τοῖς ῥωμαίοις τὸν ὅλον ὀκτώβριον μῆνα πρασοφαγεῖν *S* 14 ἐπὶ — 19 γῆς e Porphyrio petita sunt teste Eusebio praep. ev. III, 11, 9; cf. L. Traube Libam. crit. p. 31 | ἐπὶ *A*, ἔπει *B* Eus. | δὲ καὶ τῶν Eus. 17 γῆν ἥλιος *A*, γῆν ὁ ἥλιος *B*, γῆν ἰὼν ἥλιος Eus. 15 ὁ omis. Eus. 16 χειμερινὰς Eus. 17 ἥλιος καὶ τὸν ἀφανῆ περινοστῶν κόσμον κατὰ τὰς χειμερίους τροπὰς ὃς ἁρπάζειν Eus. 18 ζητεῖ X, ποθεῖ Eus. 19 γῆν Eus.

ἁρπαγὴν μυθολογοῦσι τῆς Κόρης· ἐκεῖ γὰρ λέγεται X
πρῶτον σίτου σπέρμα καταβληθῆναι.

RrIV 86 138. Τῇ πέμπτῃ τοῦ Ὀκτωβρίου μηνὸς οἱ ῥεγεω- XRS
νάρχαι καὶ σεβαστοφόροι ἐχόρευον ἐν τῷ Γουστείῳ,
οἷον ἐν τῷ ὀψοπωλείῳ, εἰς τιμὴν Τιβερίου· τὸν δὲ τοι-
οῦτον τόπον νῦν οἱ ἰδιῶται Αὐγουστεῖον καλοῦσιν.
εἰς τὸ ἄσκεπον τῆς Δάφνης εἰς τὴν μικρὰν αὐλὴν
Κωνσταντῖνος ὁ Μέγας ἔστησε στήλην τῆς ἑαυτοῦ μη-
τρός, ἐξ ἧς ὠνόμασε τὸν τόπον Αὐγουστεῖον.

87 139. Τῇ πρὸ μιᾶς Νωνῶν Ὀκτωβρίων ὁ Δημόκρι- X
τος τοὺς ἐρίφους ἀνίσχειν καὶ βορρᾶν πνεῖν διϊσχυρί-
ζεται, ὁ δὲ Εὔδοξος δύεσθαι τὸ μέσον τοῦ κριοῦ λέγει.
Νώναις Ὀκτωβρίαις ὁ Βάρρων ἐν ἑσπέρᾳ τὰς Πλειά-
δας ἀνίσχειν καὶ ζέφυρον πνεῖν, εἶτα καὶ λίβα προ-
λέγει.

88 140. Περὶ τοῦ δουρείου ἵππου ὁ Εὐφορίων φησὶν
πλοῖον γενέσθαι τοῖς Ἕλλησιν Ἵππον λεγόμενον· ἕτεροι
δέ φασιν πύλην γενέσθαι οὕτω προσαγορευομένην ἐν
τῇ Τροίᾳ, δι' ἧς εἰσῆλθον οἱ Ἕλληνες.

v. 10 et 12 Democritus et Eudoxus ibid. nr. 24 13 Varro ibid. p. 298 nr. 25 16 Euphorio frg. CXX, Meineke Anal. Alex. p. 139

v. 3 τῇ πέμπτῃ — 9 Αὐγουστεῖον *R* f. 1[v], *XS* et Lambecius in Codinum p. 155 nr. 32 in brevius contracta haec habent: ὅτι (omis. X Lamb.) ἐν τῷ βουστίῳ (γουστείῳ Lamb.) οἷον ἐν (ἐν omis. Lamb.) τῷ ὀψοπωλίῳ ἐχόρευον οἱ σεβαστοφόροι τῇ πρὸ τριῶν νωνῶν ὀκτοβρίων εἰς τιμὴν τιβερίου (εἰς τιμὴν τιβερίου οἱ σεβαστοφόροι ἐχόρευον X Lamb., omissis τῇ — ὀκτωβρίων), τὸν δὲ τοιοῦτον τόπον οἱ ἰδιῶται αὐγούστιον (αὐγούστου *S*, αὐγουστιῶνα al. αὐγουστεῖον Lamb.) καλοῦσιν. 7 ἄσκεπτον *R*, corr. Treu 11 τὰς ἐρίφους X, corr. *Rr* 16 ὁ Ἔφορος ci. A. Hecker, Philol. IV p. 469 18 δὲ omis. *A* | πόλιν X, πύλην corr. Hase | γενέσθαι ἵππον οὕτω *B*

X 141. *Τῇ πρὸ μιᾶς Εἰδῶν Ὀκτωβρίων ὁ Εὐκτήμων* RrIV89
*τὸ μεσαίτατον τοῦ φθινοπώρου εἶναι νομίζει. τῇ πρὸ
δεκαπέντε Καλενδῶν Νοεμβρίων ἥλιος ⟨ἐν⟩ σκορπίῳ γί-
νεται, ὡς Κάλλιππός φησι. τῇ πρὸ δεκατεσσάρων Κα-
λενδῶν Νοεμβρίων ὁ Μητρόδωρος τὰς ὑάδας ἐν ἑσπέρᾳ
ἀνίσχειν λέγει καὶ ἄνεμον βίαιον.*

142. *Ἀσκληπιοὶ τρεῖς λέγονται γενέσθαι· πρῶτος* 90
*Ἀπόλλωνος τοῦ Ἡφαίστου, ὃς ἐξεῦρε μήλην· δεύτερος
Ἰσχύος τοῦ Ἐλάτου καὶ Κορωνίδος, ⟨ὃς ἐν τοῖς Κυ-
νοσουρίδος⟩ ὁρίοις ἐτάφη· τρίτος Ἀρσίππου καὶ Ἀρ-
σινόης τῆς Λευκίππου· οὗτος εὗρε τομὴν καὶ ὀδοντά-
γραν, καὶ τάφος αὐτῷ ἐν Ἀρκαδίᾳ· οἱ δὲ ἀστρονόμοι αὐτόν
φασιν εἶναι τὸν ὀφιοῦχον τὸν ἐπὶ τοῦ σκορπίου ἑστῶτα.*

143. *Τῇ πρὸ μιᾶς Καλενδῶν Νοεμβρίων ὁ Βάρρων* 91
τὴν λύραν ἅμα ἡλίῳ ἀνίσχειν λέγει.

Νοέμβριος.

XH 144. *Κίγκιος ἐν τῷ περὶ ἑορτῶν λέγει, τὸν Νοέμ-* 92
*βριον παρὰ τοῖς παλαιοῖς Μερκηδῖνον ὀνομασθῆναι
ὡσανεὶ μισθοφόρον· ἐν αὐτῷ γὰρ τοῖς κτήτορσιν οἱ
μισθωτοὶ τὰς προσόδους εἰσέφερον τοῦ παρελθόντος*
XHS *κύκλου, ἑτέρων καρπῶν αὖθις ἐπερχομένων. Νοέμ-*

v. 1 Euctemo Wachsmuth de ost. p. 298 nr. 26 5 Metrodorus ibid. nr. 27 14 Varro ibid. nr. 28 17 Cincius FHG III p. 97

v. 3 *ὀκτωμβρίων B*, *νοεμβρίων A* | *ἥλιος* — 5 *νοεμβρίων* omis. *B* et priores editiones | ⟨*ἐν*⟩ addidi, cf. p. 169, 5 7 *Cic. de nat. deor. B* marg. 9 ⟨*ὃς ἐν τοῖς Κυνοσουρίδος*⟩ supplevit Hase e Clem. Alex. Coh. ad gentes I p. 26: *Ἀσκληπιὸς*] *κεῖται κεραυνωθεὶς ἐν τοῖς Κυνοσουρίδος ὁρίοις.* 17 *ὁ νοέμβριος μερκεδίνιος πρότερον παρὰ ῥωμαίοις ὠνομάζετο ὡσανεὶ μισθοφόρος* etc. *H* 21 *ἑτέρων* — *ἐπερχομένων* desunt *H* | *ὅτι ὁ νοέμβριος μὴν οὕτως ὠνομάσθη* — *γὰρ ἐκ τοῦ ἠρός ἐστι S*

βριος δὲ ὕστερον ὠνομάσθη ἐκ τοῦ ἀριθμοῦ· ἔννατος XHS *γὰρ ἐκ τοῦ Μαρτίου.*

deestRr 145. *Ὅτι χρησμὸς ἐκ τῶν Σιβυλλείων ἐδήλου, μέχρι* S *τότε Ῥωμαίοις φυλάττεσθαι τὴν βασιλείαν, ἄχρις ἂν τῶν ἀγαλμάτων τῆς πόλεως φροντίζωσιν· ὃς δὴ χρησμὸς καὶ πεπέρασται· τοῦ γὰρ Ἀβίτου πύματον βασιλεύσαντος τῆς Ῥώμης καὶ ἀγάλματα χωνεῦσαι τολμήσαντος, πόρρω τῆς Ἰταλίας ἡ βασιλεία.*

deest Rr 146. *Ὅτι Κόλχοι οἱ καὶ Λαζοὶ λεγόμενοί εἰσιν οἱ Ἀλαϊνοί.*

deestRr 147. *Ὅτι Μάριος ὁ μέγας πολεμῶν Κίμβροις καὶ Τεύτοσι κατ' ὄναρ εἶδε κρατῆσαι τῶν πολεμίων, εἰ τὴν ἑαυτοῦ θυγατέρα θύσει ἀποτροπαίοις· καὶ προκρίνας τῆς φύσεως τοὺς πολίτας τοῦτο ἐποίησε καὶ τῶν πολεμίων ἐκράτησεν. Ἐρεχθεὺς δὲ ὁ τῆς Ἀττικῆς προϊστάμενος οὐκ ὀνείρῳ ἀλλὰ χρησμῷ πεισθεὶς τοῦτο ἔπραξε καὶ νενίκηκε τοὺς ἐχθρούς. . . . παρθένος τῆς* O *δαίμονος τὸ φιλάνθρωπον . . . . . τὴν ὀφ . . . . πᾶσαν κατοικίαν παρῆλθε καὶ τοῖς . . . . διήγειρεν, ὡς ὁ Ῥωμαῖος Βάρ⟨ρων. ὅμοια καὶ⟩ Λακε⟨δαιμ⟩ονίοις γεν⟨έσθ⟩αι λόγος . . . . Ἀριστείδης, ὃς ἐν τῇ πε⟨. . . . . φη⟩σίν· ἡνίκα . . . . οὗτος ⟨ὁ*

v. 20 Varro: cf. P. Mirsch, de M. Terentii Varronis Antiquitatum rerum humanarum libris XXV, I. II frg. 1   21 Aristides non est, immo Aristodemus tertio mythicorum, cf. Plut. pers. Parall. min. p. 314 C

v. 2 *γὰρ ἀπὸ τοῦ ἔαρός ἐστι.* cet. des. *H*   17 sqq. cod. Caseolinus (*O*) f. 99ʳ; punctorum numerus par est numero litterarum perditarum. supplementa, nisi quid monui, Hasii sunt. 17 *παρθένος* — 22 *οὗτος* hodie non leguntur, legit quondam Hase (ed. Paris. p. 333)   20 ⟨*ὅμοια καὶ*⟩ supplevi   22 *πέ⟨μπτῃ. . . .⟩* suppl. Hase | ⟨*ὁ λοιμὸς κατεῖχε Λακεδαίμονα*⟩ supplevi e Plutarcho l. s.

O *λοιμὸς κατεῖχε Λακεδαίμονα, πολ⟩λῶν ἀπολλυμένων ⟨ἔχ⟩ρησεν ὁ Πύθιος ⟨παύσεσθαι τ⟩ὴν νόσον, ἐὰν κατ' ἐνιαυτὸν θεοῖ⟨ς ἀ⟩ποτροπαίοις ἡ⟨βῶσά τις καὶ εὐγενὴς σφ⟩αγιασθῇ παρθένος. τῆς ⟨δὲ⟩ ἀνόμου δεισιδαι⟨μονίας κατὰ π⟩ᾶν φθινόπωρον τελουμένης ⟨συν⟩έπεσέ ποτε ⟨λαχεῖν⟩ τὴν Ἑλένην, Τυνδά⟨ρε⟩ως δὲ τὴν θυγα⟨τέρα ἐ⟩στεφ⟨αν⟩ω⟨μένην τ⟩οῖς βωμοῖς προσή⟨γα⟩γε· καταρχομένου δὲ αὐ⟨τοῦ⟩ τῆς ἀνό⟨μου θυ⟩σίας, ἀετὸς καταπτὰς ἥρπασε τοῦ βασι⟨λέ⟩ως τὸ ξίφος ⟨καὶ παρ⟩ά τινα λευκὴν δάμαλιν ἀφῆκεν. οἱ δὲ δορυφόροι κατό⟨πιν ἀκο⟩λουθήσαντες καὶ αὐτόπται γενόμενοι τοῦ συμβάντος, ⟨τὴ⟩ν βοῦν πρὸς Τυνδάρεων ἤγαγον· ὁ δὲ θαυμ⟨άσ⟩ας τὴν πρόνοιαν ⟨τῆ⟩ς μὲν ἀνθρωπο⟨κτόν⟩ου συνηθείας ἐπαύσατο, τὴν δὲ δά⟨μαλι⟩ν θύσας τοῦ λοιμι⟨κοῦ⟩ π⟨άθ⟩ους ἀπηλλάττετο.*

148. *Τῇ πρὸ τεσ⟨σά⟩ρων καὶ τριῶν Νωνῶν Νοεμ-* deest Rr *βρίων ἐν τῷ ναῷ τῆς Ἴσιδος συμ⟨πέ⟩ρασμα τῶν ἑορτῶν· ἐπετελ⟨εῖτο⟩ δὲ καὶ ὁ λεγόμενος Δρεπαν . . .· ⟨κα⟩θ' ἣν ἑορτὴν ὁ Μητρόδωρος νό⟨τον⟩ φυσῆσαι λέγει.* OH *ἀλουτεῖν δὲ μέχρι πέρατος ἐδόκει τῷ πλήθει, ὡς λόγος,* O *πρὸς ἀποφυγὴν νόσου. τῇ πρὸ ὀ⟨κτὼ⟩ εἰδ⟨ῶν Νο⟩εμβρίων τιμαὶ παρὰ ⟨τ⟩ῶν γυναικῶν ἐπετελοῦντο Δή-μ⟨ητρος⟩ καὶ ⟨Εἰλειθ⟩υίας· Εἰλείθυια ⟨δέ ἐστιν ἡ τ⟩ῶν τικτουσῶν ἔφ⟨ορος⟩. πω. . . . ν, ὥς φησι Πλούτ⟨αρχος⟩ . . οίως ἑαυτὴν δ . . . . . σειε· ⟨τοια⟩ύτην δὲ ἐν*

v. 19 Metrodorus Wachsmuth de ost. p. 298 nr. 29

v. 3 ἢ ⟨*λυσίοις κληρωτή*⟩ Hase, ⟨*ἡβῶσα τις καὶ εὐγενὴς*⟩ dedi secundum Plutarchum 18 *Δρεπαν⟨ίας⟩*? 20 *κατὰ τὸν μῆνα τοῦτον ἀλουτεῖν μέχρι* — 21 *νόσου* *H* f. 167ᵛ, quae horum verborum in codice *O* desunt litterae, non enotavi | *ὡς λόγος* omis. *H* 24 *ἔφ⟨ορος· ὅ⟩πω⟨ς τὸ ἕ⟩ν, ὥς φησι Πλούτ⟨αρχος, ὁμ⟩οίως ἑαυτῇ δ⟨ύο ποιή⟩σειε* Hase

τῷ πά⟨θει καὶ τ⟩ὴν Ἄρτεμιν ταῖς κ⟨νοῦ⟩σαις εἶναί O φασιν. Ἄρτεμις δὲ κατ⟨ὰ τὸ⟩ν ἀριθμητικὸν λ⟨όγον ἐ⟩στὶν ἡ τὴν εἰς τὸ ἄρτιον ἰοῦσαν γένεσ⟨ιν⟩ καὶ εἰς τοῦτο προβ⟨ῆναι⟩ σπεύδουσαν ἐκβαλλομένη· διὸ δὴ ⟨καὶ⟩ μυθεύεται τὸν Ἀπόλλ⟨ωνα⟩ παρὰ τῆς Λη⟨τοῦς τι⟩κτόμενον ..... δειχθέντος αὐτοῦ, α⟨ὕ⟩τη τὴν μητέρ⟨α μαι⟩ευομένη δει .... πρὸς τὸν αὐτὸν προκα .... ἑαυτήν τε καὶ τὸν Ἀπό⟨λλωνα⟩ .... ν μετε ....

deest Rr 149. ⟨Τῇ πρὸ ἑπτὰ Εἰδῶν Νοεμ⟩βρίων .... δεκα .... δ .... των κ . . το .... ιον λέγ⟨ετ⟩αι ὑποβάλλεσθαι κ .... σα κατὰ τὸν ⟨Αἰγύ⟩πτιον Ἑρ- O S μῆν, ὅς ἐν τῷ λεγομένῳ τελείῳ λόγῳ φησὶν οὕτως· 'αἱ δὲ παραβᾶσαι ψυχαὶ τὸν τῆς εὐσεβείας κανόνα, ἐπὰν ἀπαλλαγῶσι τοῦ σώματος, παραδίδονται τοῖς δαίμοσι καὶ φέρονται κατὰ τοῦ ἀέρος σφενδονούμεναι καὶ κατὰ τὰς πυρώδεις καὶ χαλαζώδεις ζώνας, ἃς οἱ ποιηταὶ Πυριφλεγέθοντα καὶ Τάρταρον καλοῦσιν.' καὶ ὁ μὲν Ἑρμῆς περὶ μόνου τοῦ καθαρμοῦ τῶν ψυχῶν, ὁ δὲ Ἰάμβλιχος ἐν τῷ πρώτῳ τῆς περὶ καθόδου ψυχῆς πραγματείας καὶ τῆς ἀποκαταστάσεως αὐτῶν μέμνηται, τὸν ὑπὲρ σελήνης ἄχρις ἡλίου χῶρον τῷ Ἅιδῃ διδούς, παρ' ᾧ φησι καὶ τὰς ἐκκεκαθαρμένας ἑστάναι ψυχάς,

v. 15 Hermes: cf. Ps. Apul. dial. Hermes Trism. c. XXVIII

v. 15 ὅτι ὁ ἑρμῆς ἐν τῷ — p. 168, 2 τὴν σελήνην *S*: in his versibus neque codicis *O* lacunas enotavi neque Hasii et Traubii (Libam. crit. p. 33) supplementa exscripsi. 21 καὶ ὁ] καὶ omis. *O* 26 καὶ omis. *O*

OS καὶ αὐτὸν μὲν εἶναι τὸν Πλούτωνα, Περσεφόνην δὲ
O τὴν σελήνην. ταῦτα μὲν οἱ φιλό⟨σοφοι⟩· τῆς δὲ ⟨ἑορ-
τῆς τὰ ἱερὰ εὐ⟩λογίαις ἐπετελ⟨οῦν⟩το ἐπὶ τῷ ἀσβέστῳ
OY πυρὶ τῆς Ἑ⟨στίας, περὶ οὗ Πορφύ⟩ριος οὕ⟨τως⟩ Rr III 48
φ⟨ησ⟩ί· ‘ταύτῃ τοὺς φαινομένους οὐρανίους θεοὺς τῇ
θυσίᾳ δεξιούμενοι, καὶ διὰ τοῦ πυρὸς αὐτοῖς ἀπαθανα-
τίζοντες τὰς τιμὰς καὶ πῦρ ἐν τοῖς ἱεροῖς ἐφύλαττον
αὐτοῖς ἀθάνατον, ὡς ὂν μάλιστα αὐτοῖς ὁμοιότατον.’
O ἐκ ταύτης τῆς ἡμέρας ⟨Εὔ⟩δοξος χειμῶνα λέγε⟨ι⟩.

150. ⟨Τ⟩ῇ δὲ ἐπιούσῃ μνήμη Ῥέμου ⟨καὶ Ῥωμύ⟩- deest Rr
λου· ὅτε Ἀμού⟨λιος πρὸς Νομίτο⟩ρα τυραννικῶς δια-
κείμε⟨νος⟩ τὸν μὲν υἱὸν ⟨αὐτοῦ ἀνεῖλε, τ⟩ὴν δὲ θυ-
γατέρα ἱερα⟨τεύειν προσ⟩έταξε· τῆς δ⟨ὲ τεκούσης, ὡς
λέγου⟩σιν, ἐξ Ἄρεος, δεί⟨σας αὐ⟩τὸς καταποντω-
θῆναι προσ⟨έταξε τὰ βρ⟩έφη· τῶν δὲ δο⟨ρυφό⟩ρων
παρὰ τὰς ὄχθας τοῦ Θύβριδος ⟨ἐκθεμ⟩ένων αὐτά, λ⟨ύ-
και⟩να προσελθ⟨οῦ⟩σα τὰς θηλὰς αὐτ⟨οῖς⟩ προσένειμε·
π⟨οιμ⟩ὴν δὲ τοῦτο θεασάμενος ἀν⟨έλ⟩αβε τοὺς παῖδας
καὶ ὡς ἰδίο⟨υς ἀν⟩έθρεψεν, οἳ καὶ κτίζουσ⟨ι τὴ⟩ν
Ῥώμην. ταὐτὸν καὶ παρὰ Ζωπύρῳ τῷ ⟨Βυζαντίῳ⟩ . . .

H 151. Ἀπὸ δὲ τῆς πεντεκαιδεκάτης τοῦ Νοεμβρίου deest Rr
μέχρις ὅλου τοῦ Δεκεμβρίου ἤργουν οἱ Ῥωμαῖοι, ἐν

v. 4 Porphyrius de abstin. II, 5, cf. Eus. praep. ev. I 7, 8 9 Eudoxus Wachsmuth de ost. p. 298 nr. 30 20 Zopyrus frg. 2, FHG IV p. 532

v. 4 ὅτι πορφύριός φησι· τοὺς — 8 ὁμοιότατον *Y*, lacunas codicis *O* non enotavi. 6 δεξιούμενον καὶ πῦρ ἄσβεστον αὐ-τ⟨οῖς ἀνα⟩φέροντες ὡς ὂν αὐτο⟨ῖς ὁ⟩μοιότατον *O* ab Hasio suppletus | διὰ omis. Porph. 7 τιμάς, τούτοις γὰρ καὶ τὸ πῦρ ἀθάνατον φυλαττόμενον ἐν τοῖς ἱεροῖς, ὡς Porph. 20 ⟨Βυ-ζαντίῳ⟩ supplevi e Plutarcho personato Parall. min. p. 314 F. desinit in hoc nomine *O* f. 99[v]

μόναις εὐωχίαις ἐνασχολούμενοι διὰ τὴν βραχύτητα H *τῶν ἡμερῶν.*

RrIV93 152. *Τῇ πρὸ ἑπτὰ Καλενδῶν Δεκεμβρίων ὁ Δη-* X *μόκριτος λέγει τὸν ἥλιον ⟨ἐν⟩ τοξότῃ γίνεσθαι. φάβα* XS *Ῥωμαίοις τὸ ἔτνος ἐδόκει καλεῖν, ἀπὸ τοῦ ζεφύρου, οὗ καταρχομένου πνεῖν πρῶτος πέφυκεν ὁ τοιοῦτος βλαστάνειν καρπός· φαβώνιος δὲ κατ' αὐτοὺς ὁ ζέφυρος καλεῖται· ὅθεν καὶ Ζεφυρίτης ὁ Μάρτιος, ὥσπερ Μονίας ὁ Ἰανουάριος ἀπὸ τῆς μονάδος, καὶ Σεμεντίλιος ὁ Ὀκτώβριος ἀπὸ τοῦ σπόρου, ὡς ἡ παλαιότης παραδέδωκεν. ὅτι ὁ παρὰ τοῦ Νουμᾶ τεθεὶς ἐνιαυτὸς ἀπὸ* S *τοῦ Ἰανουαρίου ἄρχεται, ὁ δὲ παρὰ τοῦ Ῥωμύλου ἀπὸ τοῦ Μαρτίου. συμφωνεῖ δὲ ἡ παρὰ τοῦ Νουμᾶ χρονικὴ ἀρχὴ τῇ παρὰ τοῦ Ῥωμύλου ἄντικρυς ἀρχῇ· καὶ γὰρ ὁ Ῥωμύλος ἐκ τοῦ ἔαρος ἀρχὴν ἔλαβεν, ἀλλὰ τὸν Ἄρεος μῆνα παρεφύλαξε, καὶ Νουμᾶς δὲ ὅλως ἐπιτηρήσας ἥλιον μεσάζοντα τὸν αἰγόκερων δοκεῖ συμφέρεσθαι τῷ Ῥωμύλῳ· ὕψωμα γὰρ Ἄρεος ὁ αἰγόκερως.*

Δεκέμβριος. X

deestRr 153. *Ὁ Δεκέμβριος ὡς δέκατος καὶ αὐτὸς ἀπὸ τοῦ* H *Μαρτίου οὕτω προσηγορεύθη.*

deestRr 154. . . . . *ος ἁρμονίας διειλημμένης* . . . . O
. . . . *ους φρ* . . . . *πάντα καὶ φρουρεῖται* . . . .
. . . . *⟨τὸ Φαέθο⟩ντος πάθος καὶ*

v. 3 Democritus Wachsmuth de ost. p. 298 nr. 31

v. 4 *⟨ἐν⟩* add. Boeckh, cf. Wachsmuth l. s. | *ὅτι φάβα* — 18 *αἰγόκερως S* 5 *ἐδόκει τὸ ἔτνος S* 6 *οὗτος X*, *ὁ τοιοῦτος S* 10 *παραδέδωκεν*. cet. des. *X* 14 *κἂν S*, *καὶ* corr. Gu. Kroll § 154 *O* f. 100

O τὰ ⟨ἐπὶ Δευκαλίω⟩νος τοῦ ⟨ὕδα⟩τος δράματα ⟨ἰδέαν τινὰ αἰ⟩νίττεται τῶ⟨ν ἐπὶ τ⟩οῖς ὅλοις δε⟨δογμένων παθῶν. οἱ δὲ Φοίνι⟩κες κατὰ τ⟨ὸν τῆ⟩ς ὁμωνυμίας ⟨τρόπον, εἴτε κατ⟩ά τινα ἀ⟨λληγορ⟩ίαν ἄλλως πως περὶ Κρόνου ἔχου⟨σιν, ὡς ἐκ τῆ⟩ς δευτέρας τῶν Φοινικικῶν τοῦ Ἐρεννίου Φίλωνος ⟨ἔστι λαβεῖ⟩ν. καὶ βασιλεῦσαι δὲ αὐτὸν ἡ ἱστορία πα⟨ρα⟩δίδωσιν, ⟨ὡς ἔμπρο⟩σθεν ἀφηγησάμην, κ⟨ατά⟩ τε τὴν Λιβύην ⟨καὶ⟩ Σικελίαν ⟨καὶ τοὺς ἑσπερίους τό⟩πους καὶ π⟨ό⟩λιν κτίσαι, ὡς ὁ Χάραξ φησί, τ⟨ὴν τότε μὲν λεγ⟩ομένην Κρονίαν, νῦν δὲ Ἱερὰν πόλιν, ὡς Ἰσίγονος ⟨περὶ Παλ⟩ικῶν θεῶν καὶ Πολέμων καὶ Αἰσχύλος ἐν τῇ Αἴτνῃ π⟨αραδιδόασιν ἢ ὡς πᾶσ⟩α ἡ ἱστορία κατὰ τὸν Εὐήμερον ποικίλλ⟨εται, σοφῶς τὴν⟩ τῶν λεγομένων θεῶν ⟨ὑ⟩πογράφουσα θε⟨ωρίαν⟩.............⟨ἀπ⟩οκρύπτει.τ......ον..τοδαπ.εσοντα θεῖα· ⟨ὥστε καὶ κ⟩α⟨λῶς⟩ ὁ Π.........⟨ἐν τ⟩ῷ περὶ Διονύσου φησί, τοὺς ⟨δικαίους τῶν βασ⟩ιλέω⟨ν καὶ ἱε⟩ρέων ταῖς ἴσαις τιμ⟨αῖς μὲν⟩ ὑπ' αὐ⟨τῶν τῶν⟩ θεῶν καὶ προσηγορίαις τιμηθῆν⟨αι καὶ⟩ ταύτῃ ⟨μὲν θεοὺς κληθῆναι μυθ⟩ικῶς, τὴν δὲ ἱστορίαν πεπ⟨λασμένως⟩ παρα⟨δεδ⟩όσθαι. εἰσὶ δὲ οἵ

v. 6 Philo Byblius frg. 7, FHG III p. 571 8 ἔμπροσθεν: p. 123, 7 10 Charax frg. 17, FHG III p. 640 11 Isigonus frg. 20, FHG IV p. 437 12 Polemo frg. 102, FHG III p. 148 Aeschylus frg. 11 Nauck 13 Euhemerus frg. 10 Geyza Némethy, Euhemeri reliquiae Budapest 1889

v. 5 χρόνου *O*, corr. Hase 9 ⟨οἰκίσαι τε τοὺς τό⟩πους Hase, ⟨καὶ τοὺς ἑσπερίους τό⟩πους scripsi collato Diodoro III, 61, 3 10 κτῆσαι *O* 11 ⟨περὶ ἑλληνι⟩κῶν Hase, ⟨περὶ Παλι⟩κῶν M. Mayer apud Roscherum lex. myth. II p. 1486 12 ἔτνῃ *O* 13 ἢ] malim καὶ 17 ὁ π...... ...] Π⟨λούταρχος⟩ Hase, fortasse Π⟨ολύχαρμος⟩, cf. FHG IV p. 480 20 εἰρῆσθαι Hase, θεοὺς κληθῆναι, quae spatio quoque melius conveniunt, propono.

φασι τὸν Κρόν⟨ον ἢ κα⟩τὰ ἀ⟨ντιστοίχειαν τὸν Χ⟩ρόνον Οὐρανοῦ εἶναι παῖδα· καὶ γὰρ ἐκ τῆς οὐρανοῦ ⟨κινήσε⟩ως ὁ χρόνος. ἐν δὲ τῷ κατ' αὐτὸν ἱερῷ, ὥς φησι Φύλ⟨αρχος ἐν τῇ ἑ⟩πτακαιδεκάτῃ καὶ Μένανδρος γε ⟨τῇ⟩ πρώτῃ, οὔτε γυνὴ οὔτε ⟨κύων οὔτ⟩ε μυῖ⟨α⟩ εἰσῄει. τοιαῦτ⟨α μ⟩ὲν ⟨οὖ⟩ν τοῖς ἔξωθεν εἴ⟨ρηται· ὁ δὲ ἱερὸς⟩ λόγος — αὐτοῖς γὰρ τοῖς τοῦ ⟨μεγά⟩λου Πρόκλου ⟨χρ⟩ησόμε⟨θα ῥήμασι⟩ — ⟨π⟩ρὸς λέξιν οὕτως λέγει· 'ὁ δὲ ⟨δὴ⟩ Κρόνος τέταρτος ὢν ⟨καὶ βίᾳ δέχ⟩εται τὸ τοῦ πατρὸς σκῆπτρον καὶ παραδίδωσι τῷ ⟨παιδὶ βι⟩ασθείς, κατὰ τὸ τοῦ μύθου πρόσχ⟨ημα⟩· τὸ δὲ αἴτιον ⟨τῆς τοιαύτ⟩ης διασκευῆς οἱ μυθικοὶ δοκ⟨οῦσιν⟩ ἀπὸ τῆς ἰδιότη⟨τος τοῦ θε⟩οῦ λαβεῖν· ἐπειδὴ γὰρ τῆς Τιταν⟨ικῆς⟩ ἡγεῖται διακο⟨σμήσεως⟩ παρὰ τὸ διαιρετικὸν καὶ τῶν νοε⟨ρῶν τὸ⟩ ἀκρότατον, ἐν οἷς ἑτερότης ἐξέλαμψε· διὰ δὲ ταῦτα καὶ λαμβάν⟨ειν αὐτόν φασι⟩ καὶ διδόναι τὴν βασιλείαν, οἷον μαχητικῶς καὶ ⟨βιαίως τὴν δύναμιν⟩ τὴν ἐρίζουσαν τὰ δεύτερα τοῖς πρώ⟨τοις ἐπάγειν⟩. δυσμε⟨νὲς⟩ γὰρ ὄντως ⟨ἐστὶ καὶ⟩ δυσκοινώνητον τὸ ⟨τῆς⟩ ἑτερότητος γέ⟨νος, ὡς⟩ ὁ Πλάτωνος λόγος· ὅθεν δὴ καὶ διακρίνειν ⟨λέγεται ἑαυτὸν ὁ υἱὸς⟩ τοῦ πατρός, καὶ καταλαμβάνει⟨ν αὖθις⟩ O

v. 4 Phylarchus frg. 34, FHG I p. 343 | Menander frg. 6, FHG IV p. 447, cf. Kock CAF III p. 270 8 Proclus: cf. Theol. Plat. p. 258 C 21 Plato Leg. III p. 701 C, cf. M. Mayer apud Roscherum lex. II myth. p. 1474

v. 4 *μένανδρος O*, *Μενάνδριος* s. *Λέανδρος* ci. C. F. Schultze Quaest. Lyd. p. 54 5 *πρώτῃ*] *α' O*, sed lectio incerta est 6 *εἰσείη O*, corr. Hase 10 *τὸν O*, *τὸ τοῦ* Hase 18 *δύναμίν τε* Hase, *τὴν δύναμιν* ego 19 *καθίστησι* Hase, *εἰσάγειν* Gu. Kroll, *ἐπάγειν* ego 21 *δεῖ πάντως αὐτὸν ἀπὸ* Hase, *λέγεται ἑαυτὸν ὁ υἱὸς* A. Dieterich 22 *καταλαμβάνει⟨ν οὕτως⟩ τὴν ⟨ὑπὸ τοῦ Δ⟩ιὸς* Hase, quae leguntur supra, ego temptavi

O *τὴν ⟨ἀρχὴν ὁ υ⟩ἱὸς, ⟨τὴν πρὸς⟩ ἑκάτερον ὁμόνοιαν διὰ τὴν ἰδιότητα τὴν Τιτανι⟨κὴν καταβι⟩ασάμενος.’ τοιαῦτα μὲν καὶ αὐτὸς ἐπὶ τῆς τῶν ἱερῶν μ⟨ύθων ἀν⟩απτύξεως. κατὰ δὲ τὴν νεομη⟨νίαν⟩ τοῦ μηνὸς ἀπέ⟨χοντες κράμ⟩βης ⟨ηὔ⟩χοντο Ποσειδῶνι καὶ Ἀφ⟨ρο⟩δίτῃ καὶ Ἀμφιτρίτῃ, π⟨ροσέτι δὲ αἱ⟩ δυνάμεις τῷ Κρόνῳ ὑπὲρ ⟨τοῦ⟩ ἐσομένου χειμῶνος· ὁμ⟨οίως δὲ⟩ καὶ Τύχῃ ἐφόρῳ, Σωφροσύνῃ καὶ Ἔρωτι, ὃν οἱ μυθικοὶ Ζ⟨εφύρου τοῦ γί⟩γαντος εἶναι παῖδα ἀξιοῦσιν, ὥς φησιν Εὔρυτος ὁ Λακεδ⟨αιμόνιος ὁ μ⟩ελοποιός·* OY *ἄρχεται δὲ οὕτως· ‘ἀγαλμοειδὲς Ἔρως’· ὁ δὲ Πλάτων* Rr III 49 *ἐν συμποσίῳ φησὶν τοῖς τῆς Ἀφροδίτης γενεθλίοις τὴν Πενίαν προσαιτοῦσαν ἀνελθεῖν καὶ λάθρᾳ τῷ Πόρῳ μεθυσθέντι τοῦ νέκταρος ἐπιβουλεῦσαι, καὶ* O *οὕτως κυηθῆναι τὸν Ἔρωτα· ὅ⟨θεν⟩ Μωυσῆς ὁ πολὺς περὶ τῆς ἀνθρωπογονίας ἀλληγορεῖ. κα⟨τὰ⟩ ταύτην τὴν ἡμέραν δύεσθαι τὰς ὑάδας καὶ τὸ λοιπὸν χ⟨ειμῶ⟩να ὁ Βάρρων λέγει.*

155. *Κατὰ δὲ τὴν ἑξῆς ὁ Εὔδοξος τὸν τοξότη⟨ν* deest Rr *ἀνί⟩σχειν καὶ χειμῶνα προλέγει· ἐπετέλουν δὲ καὶ ἑορτὴν λεγομέν⟨ην Ἀ⟩γωνάλια δαφνηφόρῳ καὶ γενάρχῃ Ἡλίῳ, ὥσπερ Ἀθήνησιν ἡ ⟨ἐπὶ τ⟩οῖς δαφνηφορίοις τελετή. ἐν ταύτῃ καὶ ἡ λεγομένη παρ’ ⟨αὐτῶν Σεπτι⟩μούνδιος ἑορτὴ ἐπετελεῖτο, τουτέστιν ἡ περίοδος τῆς*

v. 10 Eurytus PLG[4] III p. 639 11 Plato symp. p. 203 B 18 Varro Wachsmuth de ost. p. 298 nr. 32 19 Eudoxus ibid. p. 299 nr. 33

v. 2 lacunam explevi; *ἀπασπάσαμενος* proponit Gu. Kroll 10 *εὔρυτος O, Ἄλκμαν* ci. M. Schmidt Philol. XVIII p. 226, *Τύρταιος* G. Wolff mus. Rh. XIX p. 464 11 *ἀγαλμοειδές O, ἀγλαομειδὲς* G. Wolff l. s. | *ὅτι ὁ πλάτων φησὶ* — 15 *ἔρωτα Y*, lacunas codicis *O* non indicavi 16 *ἀνθρωπογενίας O*

πόλ⟨εως, ὅτι ἐπὶ ἑπτὰ λ⟩όφους τὰ τείχη τῆς Ῥώμης O P
ἐκτέταται. ὀνόμα⟨τα δὲ⟩ τού⟨των· Πα⟩λάτιον Ἐσκύλιον Ταρπήϊον Ἀβεντῖνον Τιβο⟨ύρτιον Πρα⟩ιν⟨έσ⟩τιον Βιμινάλιον. ⟨παρὰ⟩ δὲ τοῖς ἀρχαίοις ἑτέρως O
οὕτως· Ἀβεν⟨τ⟩ῖνος Καίλιος ⟨Ἐσκ⟩ύλιος Καπιτωλῖνος Βελινήνσιος Κυ⟨ρινά⟩λιος Παλα⟨τῖνος⟩.

deest Rr 156. *Τῇ πρὸ τριῶν Νωνῶν Δεκεμ⟨βρίων ἡμέρα⟩ ἄπρακτος, καθ' ἣν ὁ Εὐκ⟨τή⟩μων τὸν κύνα δύεσθαι καὶ ⟨τὸν χειμῶ⟩να ἐνάρ⟨χεσ⟩θαι λ⟨έγει⟩. καὶ ἤγετο ἱπποδρομία, καθ' ἣν ἀπευκ.....*

Rr IV 94 157. *Οἱ διπούνδιοι οἱονεὶ νεοστράτευτοι, οὓς καὶ* X
τίρωνας ἀπὸ τοῦ στρατεύεσθαι δι' ἔνδειαν τροφῆς Ἰταλοὶ καλοῦσι. διπουνδίους δὲ αὐτοὺς ἐκάλουν ἀπὸ τῶν ἄρτι παραγγελέντων ἐν στρατείᾳ· οὐ γὰρ ..... ⟨διπουν⟩δίους δὲ αὐτοὺς ἐκάλουν ἐκ τοῦ δύο μόνοις νομίσμασιν ἀρκουμένους ὑπομένειν στρατεύεσθαι· διπούνδιον γὰρ τὸ διόβολον Ῥωμαίοις ἔθος καλεῖν.

deest Rr 158. *Ἔθος ἦν τοῖς Ῥωμαίοις εἰς τρία διατάττειν* R
αὐτῶν τὴν πολιτείαν καὶ τοὺς μὲν ἐπιτηδείους τοῖς ὅπλοις ἀφορίζειν, τοὺς δὲ τῇ γεωργίᾳ, τοὺς δὲ τοῖς

v. 8 Euctemo Wachsmuth de ost. p. 299 nr. 34

v. 2 *λατιονσκυλον O*, corr. Hase 3 *Τιβο⟨ρτῖνον ἢ Ἰανοῦκλον Κί⟩στιον* Hase, quod vestigiis in codice servatis non convenit. ego lacunam explevi ad Par. gr. 1630 (*P*) fidem, qui f. 98 haec habet (Boisson. Anecd. gr. I p. 424): *τὴν Ῥώμην ἐκάλουν ἑπτάλοφον, ἐπειδὴ καὶ τοῖς τείχεσιν αὐτῆς ἑπτὰ περιεκλείοντο λόφοι, ὧν δὴ καὶ τὰ ὀνόματα ταῦτά ἐστι· Παλλάντιον Σκύλλιον Ταρπήιον Ἀβέλτιον Τιβούρτιον Πραινέστιον Βιμινάκιον.* 7 *νωνῶν δὲ ἡ ⟨ἡμέρα⟩* ..... Hase, quod correxi 12 *τήρωνας X*, corr *Rr* 14 *παραγγελλόντων X, παραγγελέντων* proponit *Rr* 14 lacunam indicavit et *⟨διπουν⟩δίους* supplevit *Rr* 15 in marg.: *Politianus in misc. p. 6* B_2 § 158 tractatum *περὶ βρουμαλίων* in codice *R* f. 57^r scriptum iterum inspexit F. Cumont (cf. Rev. de Philol. XXI 1897 p. 150 not.), v. praefationem.

B κυνηγεσίοις. τούτων δὲ πέρας ἄγει ἡ τοῦ χειμῶνος ὥρα· ἐν αὐτῇ γὰρ οὔτε ἐνοπλίζονται οὔτε γεωργοῦσι διὰ τὸ τῆς ὥρας ψῦχος καὶ τὸ τῆς ἡμέρας βραχύ· ὅθεν καὶ βροῦμαν αὐτὴν πατρίως ὠνόμασαν, οἱονεὶ βραχὺ ἦμαρ· Βρουμάλια δὲ οἱονεὶ χειμεριναὶ ἑορταί. ἀργοῦντες οὖν τὸ τηνικάδε οἱ Ῥωμαῖοι μέχρι τῶν Αὐξιφωτίων ἐπὶ τῶν νυκτῶν χαιρετίζοντες ἐπευφήμουν ἀλλήλους, τῇ πατρίῳ φωνῇ λέγοντες 'βίβες ἄννους' οἷον 'ζῆθι εἰς χρόνους.' οἱ δὲ γεωργικοὶ πρὸς θεράπειαν Κρόνου καὶ Δήμητρος ἔσφαττον χοίρους· ὅθεν καὶ νῦν φυλάττεται κατὰ τὸν Δεκέμβριον ἡ χοιροσφαγία. ἔσφαζον δὲ οἱ ἀμπελουργοὶ τράγους εἰς τιμὴν τοῦ Διονύσου· ὁ γὰρ τράγος πολέμιος τῆς ἀμπέλου· καὶ ἐκδέροντες αὐτοὺς τοὺς ἀσκοὺς πληροῦντες πνεύματος ἐφήλλοντο αὐτοῖς. οἱ δὲ πολιτικοὶ καὶ τὰς ἀπαρχὰς τῶν συγκλεισθέντων καρπῶν, οἶνον καὶ ἔλαιον, σῖτον καὶ μέλι καὶ πάντα τὰ ἀπὸ δένδρων ὅσα διαμένουσι καὶ σώζονται, ἐποίουν ἄρτους ἄνευ ὕδατος καὶ ταῦτα προσῆγον τοῖς ἱερεῦσι τῆς Μητρός· φυλάττεται δὲ ἡ τοιαύτη συνήθεια ἔτι καὶ νῦν καὶ κατὰ τὸν Νοέμβριον καὶ Δεκέμβριον ἄχρι τῶν αὐξιφωτίων προσφέρουσιν αὐτὰ τοῖς ἱερεῦσιν. τὸ γὰρ κατ' ὄνομα χαιρετίζειν ἐν τοῖς Βρουμαλίοις νεωτερόν ἐστι· τὸ δὲ ἀληθέστερον, ἐξ οὗ καὶ ἡ ἐκκλησία ἀποτρέπεται αὐτά, Κρονίας ἑορτὰς αὐτὰς λέγουσιν. ἐν νυκτὶ δὲ γίνονται, ὅτι ἐν σκότει ἐστὶν ὁ Κρόνος ὡς ταρταρωθεὶς ὑπὸ τοῦ Διός, αἰνίττονται δὲ τὸν σῖτον ἀπὸ τοῦ ἐν τῇ γῇ σπαρῆναι καὶ τὸ λοιπὸν μὴ φαινομένου. τοῦτο δέ ἐστιν ἀληθέστερον ὡς εἴρηται, ὅτι νυκτικόρος ἡ περὶ αὐτὰ σπουδή, ὥστε λοιπὸν κατὰ τὸ ἀληθὲς τῶν καταχθονίων δαιμόνων εἰσὶν ἑορταὶ τὰ Βρουμάλια.

deest Br 159. Ὅτι οἱ φυσικοί φασι τόδε τὸ πᾶν ὕλην ἀνείδεον πρὸ τῆς διακοσμήσεως γενέσθαι ποτέ, ὅθεν καὶ τὴν ὕλην Ἅιδην οἱ φιλοσοφήσαντές φασι καὶ Τάρταρον, ὡς ταραττομένην καὶ οὐκ ἠρεμοῦσαν κατὰ φύσιν διὰ τὸ ἀνείδεον αὐτῆς. ἄχρονον δὲ αὐτὴν ἀλλ' οὐκ ἄναρχον, γενητὴν δὲ ὅμως καὶ αἰτιατήν, ἐξ ἀϊδίου τὴν ἐνέργειαν αὐτοῦ ⟨τοῦ⟩ πατρὸς ἀναμένουσαν, τὸ εἶναι ὅλως ἄχρονον ἐκ τῆς ἐκείνου λαβοῦσαν βουλῆς· ὅθεν ὁ Χαλδαῖος ἐν τοῖς λογίοις πατρογενῆ τὴν ὕλην ὀνομάζει. καὶ ὅπως ὁ Ἰάμβλιχος ἐν τῇ πρώτῃ τῶν Χαλδαϊκῶν φησι, ἀκοῦσαι ἄξιον· 'ἀΐδιον μέν ἐστιν ἡ ὕλη, ἐπείπερ συνυφίσταται μετὰ τῶν πρωτίστων αἰτίων ἐξ ἀϊδίου, μετ' αὐτῶν τε καὶ σὺν αὐτοῖς ἔχει τὸ εἶναι· οὐδέποτε δὲ ἐξίσταται ἀφ' ἑαυτῆς, διότι κατὰ τὴν ὁμώνυμον καὶ ἑνιαίαν δύναμιν ἐνεστήρικται τοῖς κοινοῖς· ἀτελὴς δὲ οὔκ ἐστι καὶ ἀπέραντος, ἀλλὰ μεταλαμβάνει τελειότητός τινος, ἐπειδὴ οὐδὲν ἀπὸ τῆς πατρικῆς τριάδος προχωρεῖ ἀτελές, εἰς δὲ τελειότητα καὶ πέρας ἀπ' αὐτῆς προάγεται. τῶν τοίνυν στοιχείων οὕτω μετ' αὐτὴν παραχθέντων συγκεχυμένων δὲ ὅμως, παραλαβὼν ὁ δημιουργὸς πᾶν, ὅπερ ἦν ἄτακτον ἡσυχίαν οὐκ ἄγον ἀλλὰ κινούμενον πλημμελῶς εἰς τάξιν ἤγαγε κατὰ τὸν Τίμαιον. διαστελλομένων δὲ τῶν στοιχείων, καὶ τοῦ μὲν πυρὸς τὴν ἄνω διὰ τὴν φύσει κουφότητα φαίνοντος, τοῦ δὲ ὕδατος εἰς βάθος διὰ τὴν κατὰ φύσιν βαρύτητα πίπτοντος, οἱ μυθικοὶ τὸν Κρόνον καταταρταροῦσιν, οἷον τοῦ πυρὸς ἀνατρέχοντος τὸ ὕδωρ τοῖς 8

v. 9 Gu. Kroll de or. Chald. p. 20 23 Plat. Tim. p. 30 A

v. 7 ⟨τοῦ⟩ addidi 8 ἄχρονα S, corr. Gu. Kroll | λαβοῦσα S, corr. Gu. Kroll 14 μόνιμον proponit Gu. Kroll 24 βαίνοντος ci. Gu. Kroll

S κευθμῶσι τῆς γῆς ἐμφωλεύει. πατέρα δὲ ὅμως τοῦ Διός φασι διὰ τὴν ὑγρὰν οὐσίαν, ἥτις πάντων πρεσβυτέρα τῶν στοιχείων παραδίδοται κατὰ τὸν ποιητήν, ὅς φησιν·

Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν.

τὸ δὲ ὕδωρ Τηθὺν ἐμφερῶς ὠνόμασαν ἀπὸ τοῦ κεῖσθαι κατὰ φύσιν τῷ μὲν ξηρῷ τῆς γῆς, τῷ δὲ πυκνῷ τοῦ ἀέρος συνεχόμενον'. καὶ οὕτω μὲν οἱ φυσικοὶ περὶ Κρόνου. εὑρίσκομεν δὲ αὐτὸν ὅμως καὶ Οὐρανοῦ παῖδα ἐν τοῖς βιβλίοις ἀναφερόμενον, οἷον τὸν ἐξ ἀέρος ἀποτικτόμενον ὄμβρον, ὅθεν καὶ ὑετὸς ὡσανεὶ υἱὸς καλεῖται, ἢ ὅτι μετὰ τὸν οὐρανὸν ἡ ψυχρὰ ζώνη, εἶτα ἡ θερμὴ τυγχάνει. περὶ δὲ τῆς καταταρταρώσεως τοῦ Κρόνου Ἀμμώνιος λέγει, Κρόνον μὲν εἶναι τὸν νοῦν ἢ μᾶλλον ψυχήν· οὐ γὰρ ταὐτόν· τὸν δὲ Δία τὴν γένεσιν· καὶ ὅτι πρὸ τῆς γενέσεως καθείρχθη ἡ ψυχὴ ἐν τῷ σώματι, ταύτῃ καὶ δέμας ἀντὶ τοῦ δεσμὸς τὸ σῶμα προσαγορεύεται· ἡ δὲ ἐκτομή ἐστι τὸ ἔσχατον καὶ γεννητικὸν καὶ ποιητικὸν τῶν πάντων· τοιαύτη δὲ ἡ τῶν αἰδοίων φύσις· ταῦτα δὲ Κρόνος ἔρριψεν ὁ τῆς Κρονικῆς φύσεως πατήρ, ἵνα ἡ τῆς ἀϊδιότητος δύναμις τοῦ οὐρανοῦ καὶ ἐν τῇ θαλάσσῃ ὑπάρχῃ, τουτέστι τῷ ὑπὸ σελήνην κόσμῳ, ὃς δὴ τῷ ἀστάτῳ καὶ πολυστρέπτῳ ἀπείκασται τῆς θαλάσσης,

ἔνθα φόνος τε κότος τε καὶ ἄλλων ἔθνεα κηρῶν.

τοιαῦτα μὲν Ἕλληνες.

X 160. Διόνυσός ἐστι τὸ ἐν τῷ πυρὶ γενόμενον Rr IV 95
πνεῦμα, τουτέστι τὸ θερμόν, ὅθεν καὶ πυρίτοκος ἐκλήθη καὶ μηροτραφὴς καὶ ἀρσενόθηλυς ὑπὸ Ἑλλήνων, ἀγνοη-

v. 3 Hom. Il. Ξ 201. 302 24 Empedocles v. 386 Stein, 19 Mullach

v. 27 καὶ omis. *A*

σάντων ἐκείνων τὴν περὶ αὐτὸν φιλοσοφίαν, καὶ τίς τε- X
τύχηκεν ὤν· οὗτος γάρ ἐστι τὸ θερμὸν πνεῦμα τὸ ἐκ πάσης σπορᾶς παντὸς ζώου πνευματικοῦ συγκατατιθέμενον εἰς ζωογονίαν καὶ αὔξησιν πάντων τῶν ἐν τῷ κόσμῳ. μηροτραφὴς δὲ ἐκλήθη, ἐπεὶ ἐν ταῖς μήνιγξι καὶ τοῖς ὄγκοις τοῖς γονίμοις καὶ ταῖς φλεψὶ ταῖς ἐν τοῖς μηροῖς ἐγκατῴκισται ἡ τοιαύτη οὐσία παντὸς ζώου, ἐξ οὗ συνέστη τὰ πάντα. ἀρρενόθηλυς δὲ ἐρρήθη διὰ τὸ τὰς ἀρρενοθήλεις σπορὰς γίνεσθαι δύο, ἀρσενικήν τε καὶ θηλυκὴν φύσιν, καὶ οὐκ ἔστιν ἕτερον ἀφ' ἑτέρου τὸ δυνάμενον γεννῆσαι, εἰ μὴ ὁμοῦ ἔλθοιεν· καὶ ζωογονήσουσι τὰ ζῷα τὰ ὑπὸ τούτου δεδημιουργημένα. ἀναλύεσθαί τε αὐτὸν ὑπειλήφασι καὶ πάλιν γεννᾶσθαι, ἐπεὶ καὶ τὰ ἐξ αὐτοῦ γεννώμενα ὁμοίως ἀνεκλείπτως δαπανᾶται καὶ πάλιν ζωογονεῖται.

Rr III 50 161. *Ὅτι σχημάτων ὁ κύκλος τελειότατον· ὅθεν* Y
Αἰγύπτιοι τὸν κόσμον γράφοντες περιφερῆ κύκλον ἀεροειδῆ καὶ πυρωπὸν χαράττουσι καὶ μέσον τεταμένον ὄφιν ἱερακόμορφον, οἱονεὶ συνεκτικὸν ἀγαθὸν δαίμονα· καί ἐστι τὸ πᾶν σχῆμα ὡς τὸ παρ' ἡμῖν Θ.

51 162. *Ὅτι ὁ τῆς ὀγδοάδος ἀριθμὸς θῆλυς καὶ ἄπειρος καὶ ἀτελής· ὅθεν καὶ παρὰ τῷ Νικομάχῳ ἠλιτόμηνος καλεῖται· ὁ γὰρ ὀκτάμηνος χρόνος πρὸς οὐδένα τῶν ἁρμονικῶν ἔχων φαίνεται λόγον. ὅθεν οὐ τελεσφορεῖται τὰ ὀκταμηνιαῖα· μέσος γὰρ ὢν τῶν τελεσφόρων ἀριθμῶν αὐτὸς ἀτελὴς εὑρίσκεται. πάσης γὰρ ὑλικῆς δυνάμεως μετέχων τὰς περὶ τὴν ὕλην εἴληχε δυνάμεις.*

v. 22 Ps. Nicomachus Theologumena Arithm. p. 55, 25 Ast.

v. 1 *τὴν* omis. *A* 5 *τοῖς μήνιγξι B* § 161, 162: ordinem utriusque fragmenti mutavit *D*

FRAGMENTA INCERTAE SEDIS.

S 1 (163). Ὅτι στρατιώτης τις ἀκόλαστος ἐν ⟨Δα⟩- deest Rr δαστάνοις ἐπέθετο γυναικὶ σώφρονι βιαζόμενος αὐτὴν πρὸς ὁμιλίαν· τῆς δὲ παραιτουμένης, ὡς πολὺς ἦν ὁ φθορεὺς ἐπικείμενος, πρὸς αὐτὸν ἡ γυνή φησιν, ὡς, εἰ ἀφέξεται αὐτῆς, παράσχοι πάντως φάρμακον τὸ σῶζον αὐτὸν ἀπήμαντον ἀπὸ ξίφους, καὶ θανατῶσα ὑπὲρ τῆς αἰδοῦς πείθειν ἠξίου αὐτόν, ἐπὶ τοῦ ἑαυτῆς τραχήλου τὴν πεῖραν λαβεῖν· ὁ δὲ πλήξας αὐτὴν τῆς μὲν ἐπιθυμίας ἑαυτόν, ἐκείνην δὲ τῆς ζωῆς ἐξημίωσεν·
S Cedren. ὥστε οἶδεν ὁ χρόνος μετὰ τὸν Σθενεβοίας Βελλεροφόντην καὶ Τέννην τὸν Ἀλφεσιβοίας καὶ Πηλέα τὸν Ἀστυδαμείας καὶ Ἱππόλυτον τὸν πολὺν καὶ τὴν καθ' ἡμᾶς σώφρονα.

S 2 (164). Ὅτι ὁ Τάγης κατὰ τοὺς λεγομένους κλιμα- deest Rr τάρχας ἐμφύεσθαι ἀξιοῖ τοῖς ἑκασταχοῦ γινομένοις δαίμονας ὑπηκόους ἐκείνων, τὴν τῶν ἐφόρων δύναμιν ἐπὶ τῶν ἀνθρωπίνων πράξεων ἐνδεικνυμένους, οἷον Θρᾷκας μὲν ἅρπαγας καὶ ὠμοὺς διὰ τὴν τοῦ Ἄρεος ἐπικράτειαν, τοὺς δὲ πρὸς τῇ ἑῴᾳ θερμούς τινας καὶ χρυσοῦ ἐρῶντας καὶ περὶ τὸν τούτου πόρον ἀγρυπνοῦντας, οἷα ἡλιακοῖς δαίμοσιν ἐγκειμένους καὶ περὶ τὴν ἡλίῳ ἀνακειμένην ὕλην ἀναφερομένους.

3 (165). Ὅτι ὁ Αὔγουστος καθελὼν Ἀντώνιον καὶ deest Rr

v. 2 ἐνδαστάνοις S, ἐν ⟨Δα⟩δαστάνοις temptavi 11 ὅτι σώφρονες Ἑλλήνων οὗτοι· Βελλεροφόντης Σθενεβοίας καὶ Τέλης Ἀλφεσιβοίας καὶ Πηλεὺς Ἀστυδαμείας καὶ Ἱππόλυτος Φαίδρας Georg. Cedren. hist. comp. p. 296, 16 Bonn. 16 ἑκάστου S, corr. Gu. Kroll 23 τὸν ἥλιον S, quae correxi § 165 primo fortasse libro est vindicanda 24 ἀντωνίνου S

Κλεοπάτραν Γάϊον Κορνήλιον Γάλλον τῆς τὸ πρὶν μὲν S *Ἀερίας εἶτα Ποταμίας νῦν δὲ λεγομένης Αἰγύπτου προέστησεν, Αὐγουστάλιον αὐτὸν ἐκ τοῦ οἰκείου ὀνόματος καλεῖσθαι θεσπίσας, ταύτῃ καὶ Αὐγουσταλίους τοὺς ὑποφήτας τῶν ὑπάρχων καλεῖσθαι νόμος. ὅτι ἐν ταῖς κατὰ τὸ Παλάτιον τάξεσιν ἦσαν καὶ Αἰγουστάλιοι, οὓς Ἕλληνες σεβαστοφόρους καλοῦσι, τὰς τῶν θεῶν θήκας καὶ τοὺς τῶν βασιλέων τύπους φυλάττοντες καὶ τὴν τήβεννον.*

deestRr 4 (166). *Ὅτι Εὐριπίδης ἐν Ἑλένῃ περὶ Σειρήνων λέγει οὕτως·*

πτεροφόροι νεάνιδες
παρθένοι Χθονὸς κόραι
Σειρῆνες,

ὁ δ' Ἀριστοτέλης ἐν πέπλῳ ὀνομάζεσθαι αὐτὰς λέγει Θελξιέπειαν Ἀγλαοφήμην Πασινόην.

deestRr 5 (167). *Ὅτι Ῥωμαῖος ὁ Φάβιος καιρίως τρωθεὶς ἐπὶ τοῦ πρώτου Φοινικικοῦ πολέμου μετ' ὀργῆς ἐπὶ τὸν Ἀννίβαν ἐνεχθεὶς καὶ ἁρπάσας αὐτοῦ τὸ διάδημα ἐναπέθανεν αὐτῷ. ἐν τῷ Περσικῷ δέ φησιν ὁ Ἀριστείδης, ὅτι Λεωνίδης ὁ στρατηγὸς θεασάμενος τὸ τῶν Περσῶν πλῆθος ἐν Θερμοπύλαις ἐπῆλθεν ἐκ τοῦ ἐναντίου τοῖς πολεμίοις καὶ ἀπείροις περιπαρεὶς δόρασιν ἐπὶ Ξέρξην ἐπῆλθε καὶ περιελόμενος αὐτοῦ τὸ διάδημα ἐξέπνευσεν· ἀνατεμὼν δὲ αὐτὸν ὁ Πέρσης εὗρε τὴν καρδίαν αὐτοῦ ἐκ τῆς ἐμφύτου θέρμης τετριχωμένην.*

deestRr 6 (168). *Ὅτι ὁ Νουμᾶς δέκα παρθένους ἀνέθηκε τῇ*

v. 10 Eur. Hel. 167 sqq. 15 cf. Eust. Il. 1709, 45
§ 167 Plutarchus personatus est, Parall. min. p. 306 E et D, cf. Aristides frg. 21, FHG IV p. 324

§ 168 primo fortasse libro est tribuenda

S Ἑστίᾳ εἰς φυλακὴν τοῦ παρ' αὐτῇ ἀθανάτου πυρός, καθάπερ ἐν Ἀθήναις ποτὲ ἐν τῷ τῆς Πολιάδος Ἀθηνᾶς ἀδύτῳ ὑπὸ Δευκαλίωνος λέγεται ἀθάνατον πῦρ ἀνατεθῆναι. εἰ οὖν συνέβη τὸ πῦρ ἄφνω ἀποσβεσθῆναι, ὁ μὲν ἀρχιερεὺς ῥάβδοις ἠμφιεσμέναις ἔπαιε τὰς παρθένους, συνθλίψει δὲ ξύλων ἀειθαλῶν ἀλλ' οὐ πυρὶ αὖθις ἀνήπτετο μετά τινων ἐπιλόγων τὸ πῦρ. κεῖνται δὲ τοῖς βουλομένοις τὰ λόγια παρὰ Τάγητι καὶ Καπίτωνι καὶ Πίσωνι.

de mag. II 12. III 42 7 (169). Πέρας ἔλαβε τὰ Φοντηΐῳ τῷ Ῥωμαίῳ deest Rr
O ῥηθέντα ποτέ· ἐκεῖνος γὰρ στίχους δοθέντας τινὰς δῆθεν Ῥωμύλῳ ποτὲ πατρίοις ῥήμασιν ἀναφέρει, τοὺς ἀναφανδὸν προλέγοντας, τότε Ῥωμαίους τὴν τύχην ἀπολείψειν, ὅταν αὐτοὶ τῆς πατρίου φωνῆς ἐπιλάθωνται. καὶ τὸν μὲν λεγόμενον χρησμὸν τοῖς περὶ μηνῶν γραφεῖσιν ἐντεθείκαμεν.

schol. Ven. Il. Ω 167 8 (170). Ὅτι Ἀσωνίδης ἐρασθεὶς αὐτῆς (τῆς Νιόβης) μὴ πεισθείσης τὸν οἶκον ἐνέπρησεν· ἡ δὲ φεύγουσα εὔξατο λιθωθῆναι καὶ ἐλιθώθη. deest Rr

Cedren. 9 (171). Ὅτι κάρμινα παρὰ Ῥωμαίοις λέγεται τὰ ἔπη καὶ Καρμεντία ἡ μαντεία. deest Rr

10 (172). Ὅτι δηλάτορας τοὺς διαβόλους καὶ συκοφάντας καλοῦσι Ῥωμαῖοι. deest Rr

11 (173). Φορτοῦνα παρὰ Ῥωμαίοις ἡ εὐδαιμονία. deest Rr

12 (174). Σπόρτα παρὰ αὐτοῖς ἡ σπυρίς, ἣ καὶ φίσκος καλεῖται, κἂν διαφέρωσι τῷ φίσκον μὲν καλεῖσθαι τὴν ῥαβδωτὴν πλεκτάνην, σπόρταν δὲ τὴν φλοιώδη. deest Rr

v. 5 post ῥάβδοις intercidit fortasse aliquid 6 συντλίψει *S*, quod correxi 17 ὁ δὲ λυδός φησιν, ὅτι — 19 ἐλιθώθη schol. Villoison p. 531 18 πεισθείς schol., corr. Hase § 171 Georg. Cedren. hist. comp. p. 294, 11 Bonn. § 172 Cedren. ibid. p. 298, 7 § 173. 174 Cedren. ibid. p. 297, 6 sqq.

ἔστι δὲ καὶ ἑτέρα κατασκευὴ σπυρίδος, ἀντὶ πίλου τῇ Cedren. *κεφαλῇ ἐπιτιθεμένη, καλεῖται δὲ παρ' Ἰταλοῖς κάμελα, ἐξ οὗ καὶ καμελαύκια.*

FRAGMENTA LIBRIS DE MENSIBUS FALSO TRIBUTA.

RrIII 52 IV 96 1 (175). *Τοὺς σκηπτοὺς οἱονεὶ κεραυνοὺς οἱ φιλόσοφοί φασι γενέσθαι, ὅταν ῥῆξις νεφῶν γένηται· τῆς γὰρ παρακειμένης αὐτοῖς γεώδους οὐσίας ἐξαφθείσης τὸ ἐξαφθὲν ὑπὸ τῆς ῥιπῆς ἐπὶ τὴν γῆν μετὰ ῥοίζου φέρεται. καὶ ἐὰν μὲν ὑγρὰ τυγχάνῃ ὄντα τὰ νέφη, ἅμα τῇ καταφορᾷ σβέννυται, εἰ δὲ γεωδέστερα, πυροειδεῖς ἐκθλίβονται. δύο δὲ εἴδη κεραυνῶν εἶναί φασιν, ὧν ὁ μὲν ὀξὺς καὶ μανὸς καὶ διάπυρος ἀργὴς ὀνομάζεται, ὁ δὲ βραδὺς καὶ καπνώδης ψολόεις· καὶ ὁ μὲν διὰ τὴν λεπτότητα καὶ πρὶν ἐκπυρῶσαι φερόμενος οἴχεται διὰ τάχους, ὡς μηδὲ ἐπιφλέξαι τι τῶν ἀραιοτέρων, ὁ δὲ βραδύτερος ἱκανὸς μὲν ἐπιχρῶσαι ὡς ἀπὸ αἰθάλης καὶ καῦσαι δέ τινα τῶν ὑποπεσόντων, βολβῶν καὶ συκῆς καὶ φώκης καὶ ὑαίνης μενόντων ἀβλαβῶν, ὧν καὶ ταῖς δοραῖς περιδιφθεροῦσθαι λόγος τοὺς ἱστοὺς τῶν νεῶν* XYR XY

v. 2 *τιθεμένη* Cedr., corr. Gu. Kroll 6 *τοὺς σκηπτοὺς* sqq. *R* f. 69ᵛ. originem duxisse e libro de ostentis videntur paragraphi 175—177, cf. Byz. Ztschr. V p. 412 | *ὅτι τοὺς κεραυνούς φασι γίνεσθαι Y* | *σκηπτοὺς οἱονεὶ* omis. *XY* | *οἱ φιλόσοφοι* omis *R* 7 *λέγουσι γίνεσθαι R* | *γίνηται R* 9 *ἐπὶ τὴν γῆν* omis. *R* 10 *ὑγρότερα Y* | *τυγχάνει BCDE* | *ὄντα* omis. *Y* 11 *πυρώδεις Y* 13 *ὀνομαζόμενος ἀργὴς R* 16 *φλέξαι R* 17 *αἰθάλου Y* 18 *καῦσαι YR, κῶσαι A, κακῶσαι B* | *δὲ* omis. *R* 19 *καὶ ὑαίνης* omis. *B* | *ὧν YR, ὡς X* 20 *περιδιφθεροῦνται τὰ τῶν αὐτοκρατόρων πλοῖα.* cet. des. *R* | *λόγος* omis. *Y* | *τὰ ἱστία Y*

Y *διὰ τοὺς κεραυνούς. τῶν μέντοι κεραυνοβλήτων τὰ σώματα ἄταφα κατελίμπανον οἱ πάλαι, ἀδιάφθορα μένοντα· τῆς γὰρ ἐν αὐτοῖς ὑγρότητος ἀναρπαζομένης ὑπὸ τοῦ πυρός, ὥσπερ ἀποπτηθέντα διαμένειν πέφυκε.*

X 2 (176). *Οἱ τῶν Ἑβραίων λόγιοι τὸν περὶ προγνώ-* Rr IV 97
σεως λόγον διχῇ τέμνουσιν, εἰς σημεῖα καὶ τέρατα· καὶ σημεῖα μὲν εἶναι βούλονται τὰ ἐν μετεώροις συνιστάμενα, τέρατα δὲ τὰ ἐπὶ γῆς ὡς παρὰ φύσιν φαινόμενα, ὁποῖον ἐκεῖνο τὸ ἐπὶ τῆς καλουμένης τῶν Ἑβραίων ἐξόδου ἀναφερόμενον περὶ Μωυσέως αὐτοῦ· 'καὶ εἶδεν, ὅτι ἡ βάτος καίεται, ἡ δὲ βάτος οὐ κατεκαίετο.' καὶ πάλιν· 'ἔρριψε Μωυσῆς τὴν ῥάβδον ἐπὶ τὴν γῆν καὶ ἐγένετο ὄφις.' καὶ πάλιν· 'εἰσήνεγκε Μωυσῆς τὴν χεῖρα εἰς τὸν κόλπον αὐτοῦ, καὶ ἐγένετο ἡ χεὶρ αὐτοῦ ὡσεὶ χιών.' εἶτα αὖθις· 'καὶ εἶπεν ὁ θεὸς πρὸς Μωυσῆν· λήψῃ ἀπὸ τοῦ ὕδατος τοῦ ποταμοῦ ἐπὶ τὸ ξηρὸν καὶ ἔσται αἷμα.' εἶτα ὑποβάς· 'καὶ εἶπε κύριος πρὸς Μωυσῆν· ἐὰν λαλήσῃ Φαραὼ πρὸς ὑμᾶς λέγων, Δότε σημεῖον ἢ τέρας, λαβὲ τὴν ῥάβδον σου, καὶ ῥίψον ἐπὶ τῆς γῆς, καὶ ἔσται δράκων.' καὶ οὐ ταῦτα μόνον, ἀλλ' ἔτι τέρας ἄλλο φοβερώτερον ἡ τοῦ παντὸς Αἰγυπτίου ὕδατος εἰς λύθρον μεταβολὴ καὶ τῶν βατράχων τὸ πλῆθος καὶ οἱ λεγόμενοι σκνῖπες καὶ οἱ μύωπες, οὓς αὐτοὶ καλοῦσι κυνομυίας, καὶ ἡ τῶν κτηνῶν φθορὰ καὶ ὁ κονιορτὸς ὁ ἑλκώδης, φλυκταῖναι καὶ ἀκρίδες, ταῦτα πάντα τέρατα ἂν δικαίως λέγοιντο. σημεῖα δὲ

§ 176 Exodus c. III—X v. 10 ibid. c. III, 2 12 ibid. c. IV, 3 13 ibid. IV, 6 16 ibid. IV, 9 17 ibid. VII, 8. 9

v. 1 *τῶν μέντοι* — 4 *πέφυκε* omis. *X* 6 *τέμνουσιν*] *πέμπουσιν A* 10 *εἶδεν*] *ὁρᾷ* LXX 11 *ὁ βάτος καίεται πυρί, ὁ δὲ* LXX

τὰ ἐξ ὑπερτέρων φαινόμενα, οἷον ἐκεῖνο, ὃ ἐπὶ τῆς X *αὐτῆς φέρεται γραφῆς· ‘καὶ ἔβρεξε κύριος τὴν χάλαζαν ἐπὶ πᾶσαν τὴν γῆν Αἰγύπτου· ἦν δὴ ἡ χάλαζα, καὶ τὸ πῦρ φλογίζον ἐν τῇ χαλάζῃ.’ καὶ πάλιν· ‘ἐξέτεινε δὲ Μωυσῆς τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν οὐρανὸν καὶ ἐγένετο σκότος, γνόφος καὶ θύελλα ἐπὶ πᾶσαν τὴν γῆν Αἰγύπτου.’ τοιοῦτος τοίνυν Ἑβραίοις ὁ περὶ σημείων λόγος, ἐξ ὧν οἶμαι καὶ τἄλλα τῶν ἐθνῶν διοσημείας ταῦτα καλεῖν ἔγνω τὰ σήματα· Ζεὺς γὰρ ὁ ἀὴρ κατὰ τοὺς φυσικοὺς λέγεται, ὅτι ζωοποιός ἐστιν, ὥστε διοσημεία τὸ τοῦ ἀέρος σημεῖον, ὥσπερ εὔδιον τὸ πρᾶον καὶ γαληνὸν τοῦ ἀέρος καλεῖται σχῆμα. οὐ χρὴ οὖν πρὸς τὰ ὀνόματα ταραττομένους τοὺς ἁπλουστέρους ἀποπηδᾶν τοῦ μαθεῖν· ‘δώσω γάρ, φησι, σημεῖα ἐν τῷ οὐρανῷ ἄνω, καὶ τέρατα ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ· ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα’.*

RrIV98 3 (177). *Σαβαώθ, τοῦ δημιουργοῦ· οὕτω γὰρ παρὰ Φοινίκων ὁ δημιουργικὸς ἀριθμὸς ὀνομάζεται.*

III53 4 (178). *Βροντὴ γίνεται εἰληθέντος πνεύματος ἐν* A *νέφει παχεῖ τε καὶ νοτιωτέρῳ καὶ ἐξωσθέντος βιαίως δι' αὐτοῦ, ὅθεν ῥήγνυται τὰ συνεχῆ πιλήματα τοῦ νέφους, καὶ βρόμον ἤγουν ἦχον καὶ πάταγον μέγαν*

v. 2 Exodus c. IX, 23. 24   4 ibid. c. X, 22   14 Acta Apostol. II, 19. 20 ex Ioël II, 30. 31

v. 1 *τὸ* X, *ὃ* scripsi   2 *γραφῆς* omis. *B*   3 *τὴν* omis. *A*   6 *σκότος σκότος καὶ θυέλλα A*, *σκότος καὶ θυέλλα B*, *σκότος γνόφος καὶ θυέλλα* LXX | *τὴν* omis. *A*   11 *ὢ περ A*, *ὅπερ B*, *ὥσπερ Sch*   13 *τοὺς ἁπλουστέρους* omis. *B*   14 *σημεῖα X*, *τέρατα NT* | *τέρατα X*, *σημεῖα NT*   § 178 initium est codicis *A*, legitur autem ante titulum *ἐκ τῶν ἰωάννου τοῦ φιλαδελφέως*.

A ἀπεργάζονται, ὅπερ βροντὴ λέγεται, ὥσπερ ἐν ὕδατι πνεῦμα σφοδρῶς ἐλαυνόμενον· κατὰ δὲ τὴν τοῦ νέφους ἔκρηξιν πυρωθὲν τὸ πνεῦμα λάμψαν ἀστραπὴ λέγεται.

Y 5 (179). Ὅτι Φεβρουάριος φθονήσας Καμίλλῳ deest Rr μελέτην τυραννίδος αὐτοῦ κατηγόρησε· τοῦ δὲ διωχθέντος καὶ αὖθις καθόδου τυχόντος, ὅτι πολιορκουμένῃ τῇ πατρίδι κατὰ τὴν φυγὴν ἐβοήθησεν, εἰς ἐξέτασιν Φεβρουάριος ἄγεται καὶ διώκεται, Κάμιλλος δὲ καὶ τὸν ἐπώνυμον αὐτοῦ μῆνα παρὰ τοὺς ἄλλους ἐκολόβωσε.

P 6 (180). Φασὶ γὰρ τὴν Νέμεσιν τὰ γλαφυρὰ τῶν deest Rr πραγμάτων εἰς τὸ ἔμπαλιν τρέπειν ταῖς ὑπερβολαῖς τῆς τύχης, ὥς φησι Νουμήνιος, τῷ δὲ αὐτῷ τροχῷ τὴν ἰσότητα ἐπάγουσαν, ὅθεν ὁ Μεσομήδης οὕτω που πρὸς αὐτήν·

ὑπὸ σὸν τροχὸν ἄστατον ἀστιβῆ
χαροπὰ μερόπων στρέφεται τύχα.

v. 13 Mesomedes hymn. in Nemesin v. 7. 8

§ 179 e codicibus recensionis *Y* edidit et libro de mensibus vindicavit H. Haupt Herm. XIV p. 296, qua de re dixi in praefatione. v. 6 οἷς *Y*, ὅτι scripsi | πολιουρκουμένη *Y*, quod correxi 7 δὲ ἔτασιν *Y*, ἐξέτασιν temptavi 9 κολόβωσε *Y*, quod correxi § 180 ἐκ τῶν ἱστοριῶν ἰῶ τοῦ φιλαδελφέως *P* f. 100ᵛ (Cramer Anecd. Par. I, 406), quam paragraphum tractavi in prolegomenis. 13 μεσοδίκης *P*, corr. Cramer

I.

INDEX AUCTORUM.

Αἰγύπτιοι 21, 2 28, 18
Αἰσχύλος 144, 14. *ἐν τῇ Αἴτνῃ* 170, 12
Ἀκουσίλαος 39, 19
Ἀκυλῖνος ἐν τῷ ὑπομνήματι τῶν ἀριθμῶν 128, 11
Ἀμέλιος 135, 3. v. *Μηλίας*
Ἀμμώνιος 176, 13
Ἀνάχαρσις ὁ Σκύθης 36, 17
Ἀναξαγόρας 53, 10 144, 12
Ἀναξίμανδρος 53, 14 97, 26
Ἀναξιμένης 53, 6
Ἀντίγονος 30, 22 50, 11
Ἀντιφῶν 53, 16
Ἀνύσιος ἐν τῷ περὶ μηνῶν 83, 5
Ἀπολλόδωρος 93, 2 107, 2
Ἀπολλώνιος 76, 18 126, 8 159, 20
Ἀπουλήϊος ὁ Ῥωμαῖος 154, 10
Ἀρέτας ὁ τῶν Σκηνιτῶν Ἀράβων φύλαρχος Κλαυδίῳ Καίσαρι γράφων ἐπιστολὴν περὶ τῆς δι' ὀρνέων θεραπείας 143, 14
Ἀριστείδης 165, 21. *ἐν τῷ Περσικῷ* 179, 20
Ἀριστοτέλης 16, 4 26, 6 31, 2 44, 12 58, 10 72, 7 131, 8. 22 134, 8 137, 9 140, 11 154, 9 *ἐν πέπλῳ* 179, 15
Ἀρριανός 37, 14
ἀρχαῖοι 32, 7
Ἀρχέλαος 50, 14 52, 7 (53, 4)
Ἀρχύτας 29, 4

Βάλης ὃς τὰ Καίσαρος ἔγραψε 142, 9
Βάρρων 17, 1 78, 15 105, 13 109, 4 128, 24 162, 8 163, 13 164, 14 172, 18. *ὁ Ῥωμαῖος* 110, 25 165, 20. *ἐν τῇ τρισκαιδεκάτῃ τῶν θείων πραγμάτων* 64, 18
Βεργίλιος: *Βεργιλιανός* 156, 14. *ὁ ποιητής* 125, 7

Γάβιος Βάσσος ἐν τῷ περὶ θεῶν 65, 7
γραμματικοί 91, 21 144, 10

Δάρδανος ἐν τῷ περὶ σταθμῶν 74, 11
Δέρκυλλος 51, 17
